οἱ Πυθαγόρειοι, ὥσπερ καὶ αἰθερίαν γῆν, καὶ ὡς (ὡς om. Karst.) ἀντιφράττουσαν καὶ ἐπιπροσθοῦσαν τῷ ἡλιακῷ φωτὶ, ὅπερ ἴδιον γῆς, καὶ ὡς ἀποπερατοῦσαν τὰ οὐράνια καθάπερ ἡ γῆ τὰ ὑπὸ σελήνην. Cf. quæ Philolao tribuuntur ap. Joann. Stobæum Ecl. phys. I, c. 23, t. I, p. 488 Heer., Procl. in Plat. Timæum p. 61, C; 172, A; 282, E. Schol. cod. Coisl. 166 ap. Brandis. p. 505, A, 7 : Διὸ καὶ Διὸς πύργον καὶ φυλακὴν αὐτὸ (τὸ πῦρ) ἀπεφήναντο. Ἐκάλουν δὲ αὐτὸ καὶ Ἑστίας οἶκον καὶ Διὸς θρόνον.

16. (121.)

Schol. vet. in Hesiod. Theog. v. 275, ἐσχατιῇ πρὸς νυκτὸς, ἵν' Ἑσπερίδες λιγύφωνοι : διὰ τοῦτο ταύτας καλεῖ, διότι κατὰ μουσικὴν ἁρμονίαν οἱ ἀστέρες κινοῦνται περὶ τὰ Γάδειρα, ὡς Ἀριστοτέλης φησί.

Hæc ad libros de Pythagoreorum doctrina retulit Rosius, ob ea quæ habet Simplicius in Arist. de Cælo II, 9, 3, ubi de symphonia Pythagoreorum cælesti dixit philosophus, p. 496, B, 11 : Ἡ μέντοι τοῦ μὴ ἀκούειν ἡμᾶς ἀποδοθεῖσα αἰτία ἡ διὰ συντροφίαν καὶ συνήθειαν λέγουσα θαυμάζω εἰ τοῖς Πυθαγορείοις ἐπιπρέπει τὸν Πυθαγόραν ἱστοροῦσιν ἀκοῦσαί ποτε τῆς τοιαύτης ἁρμονίας, καίπερ καὶ ἐκείνῳ σύντροφος ἦν ὥσπερ καὶ τοῖς ἄλλοις ἀνθρώποις· et de eadem re v. 26 : Ὥσπερ ὁ Πυθαγόρας ἱστόρηται. Cf. Porphyr. Vit. Pyth. 30, 31, Iamblich. V. Pyth. 65, Schol. Odyss. α, 371. Lobeck. *Aglaoph.* p. 944.

Res valde dubia et locus fortasse potius ad dialogos referendus, nisi de Institutis barbaricis cogitandum est. Ceterum conferri possunt quæ de solis occasu apud Hispanos narrabantur fabulæ, ad quas confutandas et Posidonium triginta dies Gadibus commoratum esse tradit Strabo III, p. 202, B.

17. (122.)

Simplic. in Aristot. de Cælo II, 2, 10 : Δῆλον τοίνυν ὅτι ὁ ἀφανὴς πόλος ἐστὶ τὸ ἄνω. Καὶ οἱ μὲν ἐκεῖ οἰκοῦντες ἐν τῷ ἄνω εἰσὶν ἡμισφαιρίῳ καὶ πρὸς τοῖς δεξιοῖς, ἡμεῖς δ' ἐν τῷ κάτω καὶ πρὸς τοῖς ἀριστεροῖς, ἐναντίως ἢ ὡς οἱ Πυθαγόρειοι λέγουσιν· ἐκεῖνοι γὰρ ἡμᾶς ἄνω τε ποιοῦσι καὶ ἐν τῷ δεξιῷ μέρει, τοὺς δ' ἐκεῖ κάτω καὶ ἐν τῷ ἀριστερῷ. Συμβαίνει δὲ τοὐναντίον. Ἀλλὰ τῆς μὲν δευτέρας περιφορᾶς, οἷον τῆς τῶν πλανήτων, ἡμεῖς μὲν ἐν τοῖς ἄνω καὶ ἐν τοῖς δεξιοῖς ἐσμεν, ἐκεῖνοι δὲ ἐν τοῖς κάτω καὶ ἐν τοῖς ἀριστεροῖς. Ἀνάπαλιν γὰρ τούτοις ἡ ἀρχὴ τῆς κινήσεως, p. 492, B, 39 Brand., p. 175, B, 29 Karst. : Πῶς δὲ τοὺς Πυθαγορείους ἡμᾶς ἄνω ποιεῖν φησὶ καὶ ἐν τῷ δεξιῷ, τοὺς δὲ ἐκεῖ κάτω καὶ ἐν τῷ ἀριστερῷ, εἴπερ ὡς αὐτὸς ἐν τῷ δευτέρῳ τῆς Συναγωγῆς τῶν Πυθαγορικῶν ἱστορεῖ, τοῦ ὅλου οὐρανοῦ τὰ μὲν ἄνω λέγουσιν εἶναι τὰ δὲ κάτω, καὶ τὸ μὲν κάτω τοῦ οὐρανοῦ δεξιὸν εἶναι, τὸ δὲ ἄνω ἀριστερόν, καὶ ἡμᾶς ἐν τῷ κάτω εἶναι; ἢ τὸ μὲν ἄνω καὶ πρὸς τοῖς δεξιοῖς ἐνταῦθα λεγόμενον οὐ κατὰ τὸ ἑαυτῷ ἀρέσκον εἶπεν ἀλλὰ κατὰ τοὺς Πυθαγορείους· ἐκεῖνοι γὰρ τῷ δεξιῷ τὸ ἄνω καὶ τὸ ἔμπροσθεν συνέταττον (cf. supra fragm. 11), τῷ δὲ ἀριστερῷ τὸ κάτω καὶ τὸ ὄπισθεν. Τὰ δὲ ἐν τῇ τῶν Πυθαγορικῶν Συναγωγῇ μεταγεγράφθαι μᾶλλον ὑπό τινος ὁ Ἀλέξανδρος οἴεται ὀφείλοντα ἔχειν οὕτω, τὸ μὲν ἄνω τοῦ οὐρανοῦ δεξιὸν εἶναι, τὸ δὲ κάτω ἀριστερόν, καὶ ἡμᾶς ἐν τῷ ἄνω εἶναι, οὐχὶ ἐν τῷ κάτω, ὡς γέγραπται· οὕτω γὰρ ἂν συνᾴδοι τοῖς ἐνταῦθα λεγομένοις, ὅτι ἡμᾶς κάτω λέγοντες οἰκεῖν καὶ διὰ τοῦτο καὶ ἐν τοῖς ἀριστεροῖς, εἴπερ τῷ ἀριστερῷ τὸ κάτω συντέτακται, ἐναντίως λεγόμενον ἢ ὡς οἱ Πυθαγόρειοι λέγουσιν ἄνω καὶ ἐν τοῖς δεξιοῖς. Καὶ τάχα ἔχει λόγον τὸ μεταγεγράφθαι, εἴπερ οἶδεν ὁ Ἀριστοτέλης τῷ μὲν δεξιῷ τὸ ἄνω τῷ δὲ ἀριστερῷ τὸ κάτω συντάττοντας.

---

ctium causa est. Diem enim facit versus solem pars illuminata, noctem autem versus conum umbræ factæ ab ipsa. Antichthona autem lunam vocabant Pythagorei, sicut et ætheriam terram, et tamquam obumbrantem solare lumen quod est proprium terræ et tamquam terminantem cælestia, sicut terra id quod sub luna est.

16.

Aristoteles dicit circum Gades astra moveri secundum musices harmoniam.

17.

Quomodo autem Aristoteles (*in libris de Cælo*) Pythagoreos nos sursum facere dicit et in dextro, illos autem qui ibi sunt (*in eo quod superius est hemisphærio scil.*), deorsum et in sinistro? siquidem ipse in secundo Collectionis Pythagoricorum narrat, totius cæli, hoc quidem sursum dicunt esse, hoc autem deorsum, et sursum cæli dextrum esse, deorsum autem et sinistrum, et nos deorsum esse? nisi quod sursum et quod ibi dicitur ad dextrum non ex propria mente sed e Pythagoreorum dixit. Illi enim dextro sursum et anterius coordinabant, sinistro vero deorsum et posterius. Ea vero quæ in Collectione Pythagoricorum sunt, Alexander ab aliquo ex errore ita scripta arbitrabatur, quum sic se habere deberent : Quod sursum in cælo est dextrum esse, quod deorsum sinistrum, et nos sursum esse non deorsum, ut scriptum est. Sic enim consonabit his quæ hic dicuntur, quia nos deorsum dicentes habitare propter hoc et in sinistra, siquidem sinistro deorsum coordinatum est, quod e contrario dicimus quam Pythagorei dicunt sursum et in dextris. Et forte rationem habet transcriptum fuisse, siquidem norit Aristoteles eos dextro quidem quod sursum, sinistro autem quod deorsum coordinantes.

Themistius Paraphr. in Arist. de Cœlo, lat. Moyse Alatino interpr. Venet. 1574, fol. 26 verso : *Siquidem Pythagorei dicunt superiorem partem eam esse, quæ dextræ e regione existit : quemadmodum invenimus Aristotelem iis annotationibus carpere eos, quas adversus Pythagoreorum sententias conscripsit : ubi contra eos disputat qui superiorem partem dextram esse contendebant.*

De re cf. Bœckh. *Untersuchung. über das kosmische System des Platon. Berl.* 1852, p. 109.

## II. ΠΕΡΙ ΤΗΣ ΑΡΧΥΤΕΙΟΥ ΦΙΛΟΣΟΦΙΑΣ.

Consentiunt indices in recensendis libris tribus de Archytea philosophia, nisi quod pro περὶ τῆς Ἀρχυτείου φιλοσοφίας α′ β′ γ′, ut in Diogenis Laertii (92) codice Marc. et aliis legitur, apud Anonymum (76) περὶ τῆς Ἀρχύτου φιλοσοφίας γ′ editum est, quod et apud Dschemaluddinum (9) *de Archytæ philosophia*, *libri III*, exprimitur. Apud solum vero Anonymum (78) laudatur : Ἐκ τῶν Τιμαίου καὶ Ἀρχύτου, α′ inscriptus.

Eadem varietas in altero quoque titulo reperitur, quem hîc nominare oportet : τὰ ἐκ τοῦ Τιμαίου καὶ τῶν Ἀρχυτείων apud Diog. Laert. (94), ἐκ τοῦ Τιμαίου καὶ Ἀρχύτου α′ apud Anon. (76), qui, nisi illud conjicere velis, in unum coaluisse duos titulos : τὰ ἐκ τοῦ Τιμαίου et τὰ ἐκ τῶν Ἀρχυτείων, inde explicandus erit, quod in uno volumine hæc duo scripta continebantur, quorum ultimum e majore, tribus libris comprehenso, excerptum tantummodo fuerit.

(124.)

Damascius de Principiis e cod. Hamb. p. 409 apud Rosium (cf. Creuzer, *Meletemata* I, p. 105) : Πέμπτον ἀλλὰ δὴ τὰ ἄλλα τίνα φατέον ὡς ἀληθῶς; εἰ μὲν γάρ... μήποτε οὖν τὰ ἐν τῷ δημιουργῷ πλήθη τὰ ἄλλα ἐστὶν, ὡς οἱ παλαιότεροι λέγουσι τῶν φιλοσόφων. Ἢ οὕτω γε... βέλτιον ἄρα τῷ διορισμῷ αὐτοῦ ἐμμένειν κατὰ τὴν Πυθαγορικὴν συνήθειαν καὶ τὴν αὐτοῦ τοῦ Πλάτωνος ἄλλα νοοῦντας τὰ ἔνυλα πράγματα καὶ αὐτὴν τὴν ὕλην· ἔν τε γὰρ τῷ Φαίδωνι ( p. 83, B ) οὕτως ὀνομάζει τὰ ἄλλα, τὰ εἴδη τὰ αἰσθητὰ λέγων ἄλλα, καὶ ἐν ἄλλοις· Ἀ ρ ι σ τ ο τ έ λ η ς δὲ ἐν τοῖς Ἀρχυτείοις ἱστορεῖ καὶ Πυθαγόραν ἄλλο τὴν ὕλην καλεῖν ὡς ῥευστὴν καὶ ἀεὶ ἄλλο γιγνόμενον (ἀεὶ ἄλλο καὶ ἄλλο γιγν. Creuz. l. cit.). Ὥστε δῆλός ἐστι καὶ ὁ Πλάτων ταύτῃ τὰ ἄλλα ἀφοριζόμενος. Cf. p. 496 : Πρὸς δὲ τούτοις πᾶν τὸ ἐν ὕλῃ ὂν καὶ αὐτὴν τὴν ὕλην ἄλλα καλεῖ ὁ ἐν Φαίδωνι Σωκράτης καὶ πρὸ αὐτοῦ οἱ Πυθαγόρειοι.

## III. ΠΕΡΙ ΔΗΜΟΚΡΙΤΟΥ.

Liber Aristotelis περὶ Δημοκρίτου in indicibus non memoratus, e quo tamen longius fragmentum exscriptum est apud Simplicium, num idem existimandus sit atque cujus titulum recensent Diogenes (124) et Anonymus (107) προβλήματα ἐκ τῶν Δημοκρίτου ζ′, incertum est. Rosius more suo Aristotelis nomen male pro Theophrasti positum conjicit, de libro περὶ Δημοκρίτου α′ cogitans qui in tertio indice scriptorum Theophrasteorum memoratur (Usen. *Anal. Theophr.* p. 11, 6), quem tamen vix diversum puto ab illo qui jam in priori (cf. ib. p. 4, 7) περὶ τῆς Δημοκρίτου ἀστρολογίας α′ nominatur.

(125.)

Simplicius in Arist. de Cælo (I, 10, 2 : Γενόμενον μὲν οὖν [τὸν οὐρανὸν scil.] ἅπαντες εἶναί φασιν, ἀλλὰ γενόμενον οἱ μὲν ἀΐδιον, οἱ δὲ φθαρτὸν ὥσπερ ὁτιοῦν ἄλλο τῶν φύσει συνισταμένων) p. 488, A, 6 Brand. : Καὶ ταῦτα δὲ προστίθησιν ὁ Ἀλέξανδρος ὅτι οἱ λέγοντες ποτὲ μὲν οὕτω τὸ πᾶν ποτὲ δὲ ἄλλως ἔχειν, ἀλλοίωσιν μᾶλλον τοῦ παντὸς ἀλλ' οὐ γένεσιν καὶ φθορὰν λέγουσιν. Οἱ δὲ γενητὸν, φησὶ, καὶ φθαρτὸν λέγοντες τὸν κόσμον ὡς ὁτιοῦν ἄλλο τῶν συνισταμένων εἶεν ἂν οἱ περὶ Δημόκριτον. Ὡς γὰρ ἕκαστον τῶν ἄλλων γίνεται καὶ φθείρεται κατ' αὐτοὺς, οὕτω δὲ καὶ τῶν κόσμων τῶν ἀπείρων ἕκαστος· ὡς γὰρ ἐπὶ τῶν ἄλλων τὸ γενόμενον οὐ ταὐτὸν τῷ φθαρέντι εἰ μὴ ἄρα κατ' εἶδος, οὕτω καὶ ἐπὶ τῶν κόσμων λέγουσιν. Εἰ δὲ αἱ ἄτομοι αἱ αὐταὶ μένουσιν ἀπαθεῖς οὖσαι, δῆλον ὅτι καὶ οὗτοι ἀλλοίωσιν ἂν λέγοιεν τῶν κόσμων, ἀλλ' οὐ φθορὰν, ὥσπερ Ἐμπεδοκλῆς δοκεῖ λέγειν καὶ Ἡράκλειτος· ὀλίγα γὰρ ἐκ τῶν Ἀριστοτέλει περὶ Δημοκρίτου παραγραφέντων δηλώσει τὴν τῶν ἀνδρῶν ἐκείνων διάνοιαν (vers. lat. Guilelmi fol. 45 recto : *Pauca autem ex dictis Ar. de Democrito manifesta faciunt virorum illustrium mentem*, unde sic corrigenda esse græca conjecit Rose : ἐκ τῶν Ἀριστοτέλους π. Δ. vel ἐκ τῶν Ἀριστοτέλει εἰρημένων π. Δημ. παραγραφέντα). In editione Karstenii recens edita, de cujus ta-

---

II. DE ARCHYTEA PHILOSOPHIA.

Aristoteles in Archyteis narrat Pythagoram materiam aliud vocare ut fluxam et quæ semper mutetur.

III. DE DEMOCRITO.

Pauca ex iis quæ Aristoteles de Democrito conscripsit illorum virorum (*Democriti*, *Empedoclis et Heracliti*

men subsidiis, quum annotatio critica desit, non satis bene judicare licet, hæc ita scripta sunt, p. 132, B, 41 sqq. : ὀλίγα δὲ ἐκ τῶν Ἀριστοτέλους περὶ Δημ. παραγραφέντα. Sunt hæc :

« Δημόκριτος ἡγεῖται τὴν τῶν ἀϊδίων φύσιν εἶναι μικρὰς οὐσίας πλῆθος ἀπείρους, ταύταις δὲ τόπον ἄλλον ὑποτίθησιν ἄπειρον τῷ μεγέθει. Προσαγορεύει δὲ τὸν μὲν τόπον τοῖσδε τοῖς ὀνόμασι, τῷ τε κενῷ καὶ τῷ οὐδενὶ καὶ τῷ ἀπείρῳ, τῶν δὲ οὐσιῶν ἑκάστην τῷ τῷδε καὶ τῷ ναστῷ καὶ τῷ ὄντι. Νομίζει δὲ εἶναι οὕτω μικρὰς τὰς οὐσίας ὥστε ἐκφυγεῖν τὰς ἡμετέρας αἰσθήσεις, ὑπάρχειν δὲ αὐταῖς παντοίας μορφὰς καὶ σχήματα παντοῖα καὶ κατὰ μέγεθος διαφοράν. Ἐκ τούτων οὖν ἤδη καθάπερ ἐκ στοιχείων γεννᾶν (corr. γεννᾶσθαι Ros.) καὶ συγκρίνειν (συγκρίνεσθαι id.) τοὺς ὀφθαλμοφανεῖς καὶ τοὺς αἰσθητοὺς ὄγκους. Στασιάζειν δὲ καὶ φέρεσθαι ἐν τῷ κενῷ διά τε τὴν ἀνομοιότητα καὶ τὰς ἄλλας τὰς εἰρημένας διαφοράς, φερομένας δὲ ἐμπίπτειν καὶ περιπλέκεσθαι περιπλοκὴν τοιαύτην, ἣ συμψαύειν μὲν αὐτὰ καὶ πλησίον ἀλλήλων εἶναι ποιεῖ, φύσιν μέντοι μίαν ἐξ ἐκείνων κατ' ἀλήθειαν οὐδ' ἡντιναοῦν γεννᾷ· κομιδῇ γὰρ εὔηθες εἶναι τὰ δύο ἢ τὰ πλείονα γενέσθαι ἄν ποτε ἕν. Τοῦ δὲ συμμένειν τὰς οὐσίας μετ' ἀλλήλων μέχρι τινὸς αἰτιᾶται τὰς ἐπαλλαγὰς καὶ τὰς ἀντιλήψεις τῶν σωμάτων· τὰ μὲν γὰρ αὐτῶν εἶναι σκαληνά, τὰ δὲ ἀγκιστρώδη, τὰ δὲ ἄλλα (ἄλλας Ros. et sic versio lat. Venet. 1563) ἀναρίθμους ἔχοντα διαφοράς. Ἐπὶ τοσοῦτον οὖν χρόνον σφῶν αὐτῶν ἀντέχεσθαι νομίζει καὶ συμμένειν, ἕως ἰσχυροτέρα τις ἐκ τοῦ περιέχοντος ἀνάγκη παραγενομένη καὶ διασείσῃ καὶ χωρὶς αὐτὰς διασπείρῃ. » Λέγει δὲ τὴν γένεσιν καὶ τὴν ἐναντίαν αὐτῇ διάκρισιν οὐ μόνον περὶ ζῴων ἀλλὰ καὶ περὶ φυτῶν καὶ περὶ κόσμων καὶ συλλήβδην περὶ τῶν αἰσθητῶν σωμάτων ἁπάντων. Εἰ τοίνυν ἡ μὲν γένεσις σύγκρισις τῶν ἀτόμων ἐστίν, ἡ δὲ φθορὰ διάκρισις, καὶ κατὰ Δημόκριτον ἀλλοίωσις ἂν εἴη ἡ γένεσις· καὶ γὰρ καὶ Ἐμπεδοκλῆς τὸ γινόμενον οὐ ταὐτὸ τῷ φθαρέντι φησὶν εἰ μὴ ἄρα κατ' εἶδος. Καὶ ὅλως τοῦτον ἀλλοίωσιν ἀλλ' οὐ γένεσιν ὑποτίθεσθαί φησιν Ἀλέξανδρος.

Quæ in Karstenii editione aliter se habent hæc sunt : l. 2, ante πλῆθος inseritur τό; l. 5, post ἑκάστην legitur πλήρει, στερεῷ καὶ ὄντι; l. 6, ἐκφεύγειν; l. 8, διαφορᾶς; l. 9, γεννᾶσθαι et συγκρίνεσθαι; l. 13, τὰς omiss. ante εἰρημένας; l. 18, τὸ δύο ἢ πλείονα; l. 22, post ἀγκιστρώδη, leg. τὰ δὲ κοῖλα, τὰ δὲ κυρτά, τὰ δὲ ἄλλας (cf. vers. latin.); l. 26, (om. καὶ) διασείσῃ.

---

## ΠΕΡΙ ΠΛΑΤΩΝΟΣ.

Scriptorum quæ ad philosophiam Platonis pertinent duo sunt genera : alterum cui adnumerandi sunt libri περὶ τἀγαθοῦ et fortasse περὶ Ἰδεῶν : alterum vero quod ex illis constat, quæ Platonicorum scriptorum tantum compendia fuisse videntur. Ex his (ne de illo loquar titulo apud Dschemalud. (52) *Platonis jusjurandum libri VI*, quem Græci ignorant) opus quod inscribitur τὰ ἐκ τῶν Νόμων Πλάτωνος α' β' γ' in indicibus tantum memoratur, Diog. Laert. (21), Anonym. (23), apud quem β' legitur, reliquorum vero quum alibi quoque mentio occurrat, jam de singulis videndum erit.

---

scil.) manifestam faciunt mentem : « Democritus existimat naturam æternorum esse parvas substantias multitudine infinitas. His autem supponit alium locum infinitum magnitudine. Appellat autem locum his nominibus, vacuum, nullum et infinitum, substantiarum autem unamquamque plenum, solidum et ens. Putat autem substantias sic esse parvas ut effugiant nostros sensus, inesse vero ipsis omnimodas formas et figuras omnimodas et secundum magnitudinem diversas. Ex his igitur jam sicut ex elementis generari et concerni oculis apparentes et sensibiles moles; dissipari autem et corrumpi in vacuo propter dissimilitudinem et alias differentias dictas, notas autem incidere et complicari tali complexione, quæ contingere quidem ipsas et sibi invicem vicinas esse facit. Naturam vero unam ex illis secundum veritatem nullam generari : nam per absurdum esse duo aut plura fieri unquam unum. Causas vero cur ad tempus inter se commaneant substantiæ dicit esse adjunctiones et receptiones atomorum. Nam has quidem ipsarum esse scalares, has autem aduncas, [has autem concavas, has vero gibbas, *hæc in versione lat. Venet. 1563 expressa adduntur*], has alias habentes innumeras differentias. Tantum igitur tempus eas inter se cohærere putat et simul manere, donec validior aliqua ex continente necessitas adveniens dissolvat seorsumque ipsas dispergat. » Dicit autem generationem et contrariam ipsius disgregationem non solum de animalibus sed et de plantis et de mundis et summatim de sensibilibus corporibus omnibus. Si igitur generatio congregatio atomorum est, corruptio autem disgregatio, etiam secundum Democritum alteratio utique erit generatio. Nam etiam Empedocles quod generatur non idem esse cum corrupto ait, nisi forsan secundum speciem, et tamen hanc alterationem sed non generationem supponere ait Alexander.

## IV. ΤΑ ΕΚ ΤΗΣ ΠΟΛΙΤΕΙΑΣ ΠΛΑΤΩΝΟΣ.

Compendium Platonis librorum de Republica recenset Diog. L. (22) τὰ ἐκ τῆς Πολιτείας α' β', ubi e præcedenti titulo τὰ ἐκ τῶν Νόμων Πλάτωνος nomen philosophi supplendum est. Titulum Anonymus omisit, habent vero Arabum indices : *Compendium operis Platonici de Regimine civitatum libri II*, Dschemalud. (15); *libri V de administranda Republica, excerpsit ibi cum delectu verba Platonis*, Hadschi Khalfa V, 60 Flügel. In quo titulo quod quinque indicantur libri, inde fortasse factum est, quod in unum conjuncti sunt tres libri Compendii Legum et duo Reipublicæ, cui conjecturæ alter favere titulus videtur qui apud eundem memoratur, p. 142 : *Aristoteles de Voluptate libri duo, in quibus potiora quæ Plato in Politia dixerat, selecta tractavit*. Facile enim perspicitur e duobus diversis titulis coaluisse hunc, quum in indice Dschemaluddini (16) liber *de voluptate* statim adjiciatur. Quæ in Theophrasti scriptorum tabula affertur Ἐπιτομὴ τῆς Πλάτωνος Πολιτείας α' β' (*Analecta Theophrastea*, p. 4, 15 Usen.), num eadem fuerit atque Aristotelis, quod et Usenerus sibi persuasit, cujus hæc sunt verba l. l. p. 19 : « Epitomam Reipublicæ Platonicæ duobus libris comprehensam quæ et in Theophrasti et in Aristotelis scriptis ferebatur, majore certe cum jure Aristoteli quam illi tribuas, nisi ab adolescentulo in præceptoris usum perscriptam esse existimaveris, » dijudicari vix licet, quum et ab utroque tale compendium confici potuerit.

(126.)

Proclus in Plat. Rempubl. p. 350 ed. Basil. : Ἕτεροι δὲ οὐκ ἐλάττους τούτων οὐδὲ ἀνεχεγγυώτερα γράφοντες περὶ πολιτείας εἶναι τὴν πρόθεσιν ἀξιοῦσιν, εἰ καὶ πρότερον ζήτημα γέγονε περὶ δικαιοσύνης, οὐχ ὡς προηγούμενον ὂν ἀλλ' ὡς εὐπρόσωπον τῷ περὶ πολιτείας σκέμματι παρέχον ὁδόν. Καὶ μαρτυροῦνται καὶ οὗτοι τὴν ἐπιγραφὴν ἀρχαιοτάτην οὖσαν· καὶ γὰρ Ἀριστοτέλης ἐπιτεμνόμενος τὴν πραγματείαν ταύτην οὑτωσί φησιν « ἐπιτέμνεσθαι τὴν Πολιτείαν. »

## V. ΤΑ ΕΚ ΤΟΥ ΤΙΜΑΙΟΥ ΠΛΑΤΩΝΟΣ.

De compendio Timæi Platonici ab Aristotele facto, ita Simplicius in Arist. de Cælo, p. 491, B, 35 : Καὶ πάντων οἶμαι μᾶλλον ὁ Ἀριστοτέλης τὴν ἐν Τιμαίῳ περὶ τούτων τοῦ Πλάτωνος γνώμην ἠπίστατο, ὃς καὶ σύνοψιν ἢ ἐπιτομὴν τοῦ Τιμαίου γράφειν οὐκ ἀπηξίωσεν. Ad hunc igitur librum spectat titulus : Τὰ ἐκ τοῦ Τιμαίου καὶ τῶν Ἀρχυτείων apud Diog. Laert. (94), ἐκ τοῦ Τιμαίου καὶ Ἀρχύτου α' apud Anon. (76) : diversus vero est, quem recenset Hadschi Khalfa (15) : *Timæus de scientia magica ad modum Græcorum*.

## VI. ΠΕΡΙ ΤἈΓΑΘΟΥ.

In iis quæ de Platone tradidit, Aristotelem non solum superstitibus philosophi dialogis usum esse, præter ea quæ in Topicorum libro sexto, c. 2 § 5 leguntur : Ἔτι εἰ μὴ κειμένοις ὀνόμασι χρῆται, οἷον Πλάτων ὀφρυόσκιον τὸν ὀφθαλμόν, ἢ τὸ φαλάγγιον σηψιδακός, ἢ τὸν μυελὸν ὀστεογενές· πᾶν γὰρ ἀσαφὲς τὸ μὴ εἰωθός, manifeste declarant qui sequuntur loci, de Anima I, c. 2 § 7 : Πλάτων ἐν τῷ Τιμαίῳ (p. 35, A) τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ.... ὁμοίως δὲ καὶ ἐν τοῖς περὶ φιλοσοφίας λεγομένοις (λόγοις cod. V et ed. Camotiana) διωρίσθη, αὐτὸ μὲν τὸ ζῷον ἐξ αὐτῆς τῆς τοῦ ἑνὸς ἰδέας καὶ τοῦ πρώτου μήκους καὶ πλάτους καὶ βάθους, τὰ δ' ἄλλα ὁμοιοτρόπως. Ἔτι δὲ καὶ ἄλλως, νοῦν μὲν τὸ ἕν, ἐπιστήμην δὲ τὰ δύο· μοναχῶς γὰρ ἐφ' ἕν· τὸν δὲ τοῦ ἐπιπέδου ἀριθμὸν δόξαν, αἴσθησιν δὲ τὸν τοῦ στερεοῦ, præsertim vero Physicorum IV : Διὸ καὶ Πλάτων τὴν ὕλην καὶ τὴν χώραν ταὐτό φησιν εἶναι ἐν τῷ Τιμαίῳ (p. 52, A)· τὸ γὰρ μεταληπτικὸν καὶ τὴν χώραν ἓν καὶ ταὐτόν· ἄλλον δὲ τρόπον ἐκεῖ τε λέγων τὸ μεταληπτικὸν καὶ ἐν τοῖς λεγομένοις ἀγράφοις δόγμασιν, ὅμως τὸν τόπον καὶ τὴν χώραν τὸ αὐτὸ ἀπεφήνατο. Tertius præterea locus est apud Aristotelem de Gener. et Corrupt. II, 3 : Ὡσαύτως δὲ καὶ οἱ τρία λέγοντες (στοιχεῖα scil.) καθάπερ Πλάτων ἐν ταῖς Διαιρέσεσιν· τὸ γὰρ μέσον μίγμα ποιεῖ, quem, ut e Joannis Philoponi commentario ad h. l. fol. 50, B discimus : Ἀποδεκτέον οὖν μᾶλλον ὅπερ τελευταῖον προστίθησιν ὁ Ἀλέξανδρος φάσκων περὶ τῶν ἀγράφων δογμάτων τοῦ Πλάτωνος λέγειν τὸν Ἀριστοτέλην, ἅπερ αὐτὸς Ἀριστοτέλης ἀπεγράφετο, καὶ ταῦτα καλεῖν Διαιρέσεις. Ἐν ἐκείνοις τοίνυν ὁ Πλάτων τὸ μέγα καὶ μικρὸν καὶ τὸ μεταξὺ τούτων ὑποτίθεται, Alexander conjectura ad libros de Bono retulerat, quæ tamen res obscurior est quam ut dijudicari possit. Quid vero sint quæ illic περὶ φιλοσοφίας, hic

# DE PLATONE.

## IV. EXCERPTA E PLATONIS REPUBLICA.

Aristoteles quum in compendium redigeret Platonis Rempublicam dicit ita : « In compendium se redegisse Rempublicam. »

autem ἄγραφα δόγματα nominantur, optime intelligetur ipsius Aristotelis testimonio, quod ex ejus ore se excepisse tradit Aristoxenus. Cujus de auctoritate in hac re, cur, ut a nonnullis factum est, dubitetur, equidem ego nullam video causam. Hæc enim ille Elem. Rhythm. II, p. 30 Meibom. : Καθάπερ Ἀριστοτέλης ἀεὶ διηγεῖτο τοῦτο πλείστοις τῶν ἀκουσάντων παρὰ Πλάτωνος τὴν περὶ τἀγαθοῦ ἀκρόασιν παθεῖν· προσιέναι γὰρ ἕκαστον ὑπολαμβάνοντα λήψεσθαί τι τῶν νομιζομένων τούτων ἀνθρωπίνων ἀγαθῶν· οἷον πλοῦτον, ὑγίειαν, ἰσχύν, τὸ ὅλον εὐδαιμονίαν τινὰ θαυμαστήν. Ὅτε δὲ φανείησαν οἱ λόγοι περὶ μαθημάτων καὶ ἀριθμῶν καὶ γεωμετρίας καὶ τὸ πέρας ὅτι ἀγαθόν ἐστιν ἓν παντελῶς, οἶμαι, παράδοξόν τι ἐφαίνετο αὐτοῖς. Eandem rem quam sive ex Aristoxeno, sive aliunde acceperat, narrat quoque Themistius Orat. XXI, p. 245, C Hard., a quo licet pleraque rhetorico more exornata sint, tamen illud docemur, in consueto discipulorum consessu disputasse philosophum, postquam illa turba quæ primum undique confluxerat, ut Platonem audiret, dissipata esset. Cujus hæc sunt verba : Ἐπεὶ καὶ Πλάτωνα τὸν σοφὸν οὐδὲν ἐκώλυεν εἶναι σοφὸν, ὅτι αὐτοῦ λέγοντος ἐν τῷ Πειραιεῖ, ξυνέρρεόν τε καὶ ξυνήεσαν οὐ μόνον ἐκ τοῦ ἄστεος κατιὼν ὁ δῆμος, ἀλλὰ καὶ ἐκ τῶν ἀγρῶν καὶ ἐκ τῶν ἀμπέλων καὶ ἐκ τῶν ἔργων τῶν ἀργυρείων. Καὶ οὖν ὁπηνίκα τοὺς περὶ τἀγαθοῦ διεξήει λόγους, ἰλιγγίασί ποτε ὁ πολὺς ὅμιλος, καὶ ἀπερρύησαν τοῦ χοροῦ, καὶ τελευτῶν δὴ κατέληξεν εἰς τοὺς συνήθεις ὁμιλητὰς τῷ Πλάτωνι μόνους τὸ θέατρον. Quæ vero in hunc modum Plato disputaverat, a multis excepta et scriptis mandata erant, de qua re præclarum exstat Alexandri Aphrodisiensis testimonium a Simplicio ad l. l. Physicor. allatum, fol. 32, verso (p. 334, B, 25 Brand.) : Λέγει δὲ ὁ Ἀλέξανδρος ὅτι κατὰ Πλάτωνα πάντων ἀρχὴ καὶ αὐτῶν τῶν ἰδεῶν τό τε ἓν ἐστι καὶ ἡ ἀόριστος δυὰς, ἣν μέγα καὶ μικρὸν ἔλεγεν, ὡς καὶ ἐν τοῖς περὶ τἈγαθοῦ Ἀριστοτέλης μνημονεύει. Λάβοι δὲ ἄν τις καὶ παρὰ Σπευσίππου καὶ παρὰ Ξενοκράτους καὶ τῶν ἄλλων, οἳ παρεγένοντο ἐν τῇ περὶ τἀγαθοῦ Πλάτωνος ἀκροάσει· πάντες γὰρ συνέγραψαν καὶ διεσώσαντο τὴν δόξαν αὐτοῦ καὶ ταύταις αὐτὸν ἀρχαῖς χρῆσθαι λέγουσιν· eadem infra, ex eodem ut videtur fonte, iterum tangit fol. 104 verso (p. 362, A, 10 Brand.) : Τὴν δὲ ἀόριστον δυάδα καὶ ἐν τοῖς νοητοῖς τιθεὶς (ὁ Πλάτων scil.) ἄπειρον εἶναι ἔλεγεν, καὶ τὸ μέγα δὲ καὶ τὸ μικρὸν ἀρχὰς τιθεὶς ἄπειρα εἶναι ἔλεγεν ἐν τοῖς περὶ τἀγαθοῦ λόγοις, οἷς ὁ Ἀριστοτέλης καὶ Ἡρακλείδης (cf. Roulez *de Heraclide Pontico*, Lovanii, 1828, p. 19) καὶ Ἑστιαῖος (cf. Diog. Laert. III, 46, Brandis, *Geschichte der gr.-ræm. Philosophie,* t. II, 1, p. 180), καὶ ἄλλοι τοῦ Πλάτωνος ἑταῖροι παραγενόμενοι ἀνεγράψαντο τὰ ῥηθέντα αἰνιγματωδῶς, ὡς ἐρρήθη, Πορφύριος δὲ διαρθροῦν αὐτὰ ἐπαγγελλόμενος τάδε περὶ αὐτῶν γέγραφεν ἐν τῷ Φιλήβῳ. Interposita deinde Porphyrii explicatione ita pergit Simplicius : Καὶ ὁ Ἀλέξανδρος δὲ καὶ αὐτὸς ἐκ τῶν περὶ τἀγαθοῦ λόγων τοῦ Πλάτωνος ὁμολογῶν λέγειν ὡς ἱστόρησαν Ἀριστοτέλης τε καὶ ἄλλοι τοῦ Πλάτωνος ἑταῖροι. Cum his conspirat quodammodo Theodorus Metochita in iis quæ annotavit ad locum supra laudatum Aristotelis de Anima, p. 190 latinæ versionis : *In opere autem, inquit, de philosophia, de iis quæ Platoni in summa visa sunt de iis quæ sunt : quod quidem opus nunc non exstat, fertur autem fuisse scriptum a Xenocrate Platonis successore,* nisi quod, ut a Joanne Philopono quoque factum est, in Aristot. Physic. l. l. p. 371, B, 23 : Τὰς δὲ ἀγράφους συνουσίας τοῦ Πλάτωνος αὐτὸς ὁ Ἀριστοτέλης ἀπεγράψατο, unum tantum modo ex illis nominat qui hanc de Bono disputationem scriptis mandaverant. Ex his vero quæ ex Alexandro tradita sunt manifestum fit libros περὶ τἀγαθοῦ quos recenset Diogenes Laertius in catalogo scriptorum Xenocratis (IV, 13) et Heraclidis (V, 87), nullos alios fuisse, quam qui Platonis disputationem continerent. Quæ si recte se habent, jam ex similitudine illud demonstrari poterit, quod et per se satis probabile videtur, libros περὶ τἈγαθοῦ ab Aristotele conscriptos, minime, ut Rosius voluit, dialogicam formam habuisse, quippe quum et Heraclidis de Bono libri non inter dialogos, sed inter physici argumenti scripta a Diogene reponantur.

De libris περὶ τἈγαθοῦ satis jam disputata forent, nisi et quædam adjicienda essent de errore, in quem, ut multi inciderent, ipsius Aristotelis verbis factum esse puto. Quum enim ille, ubi Platonis disputationem significat in libris de Anima I, 2, 7, eam τὰ περὶ φιλοσοφίας λεγόμενα appellasset, hæc a nonnullis ita intellecta sunt quasi de libris quos ipse περὶ Φιλοσοφίας conscripserat accipienda essent. Talis autem error eo facilius propagari potuit, quod jam antiqui philosophi interpretes non satis accurate semper distinxisse videntur quæ hîc distinguenda erant. Cujus rei exemplo sunt qui exscriptus est à Suida vetus interpres s. v. Ἀγαθοῦ δαίμονος, ubi legitur : Ὅτι περὶ τἈγαθοῦ βιβλίον συντάξας Ἀριστοτέλης τὰς ἀγράφους τοῦ Πλάτωνος δόξας ἐν αὐτῷ κατατάττει καὶ μέμνηται τοῦ συντάγματος Ἀριστοτέλης ἐν τῷ α' περὶ Ψυχῆς ἐπονομάζων αὐτὸ περὶ Φιλοσοφίας (cf. Schol. e cod. Paris. apud Brandis. *Diatribe de Arist. de Bono*, etc.,

p. 49), non minus quam Simplicius, qui ita ad l. l. Aristotelis de Anima fol. 5 verso : Περὶ φιλοσοφίας μὲν νῦν λέγει, τὰς περὶ τοῦ ἀγαθοῦ αὐτῷ ἐκ τῆς Πλάτωνος ἀναγεγραμμένας συνουσίας, ἐν οἷς ἱστορεῖ τάς τε Πυθαγορείους καὶ Πλατωνικὰς περὶ τῶν ὄντων δόξας, quorum uterque in eo reprehendendus est, quod, quum de Platonis disputatione locutus esset Aristoteles, id ad ipsius Aristotelis libros, quibus illa continebatur disputatio, retulerunt. Simili plane errore factum esse arbitror ut Alexander Aphrod. in Metaphys. p. 86, 31 Bon., et qui illum manifeste exscripsit auctor commentarii ad Metaph. XII, 9, p. 756, 17 Bon., libros περὶ Φιλοσοφίας appellaverint qui alias περὶ τ'Ἀγαθοῦ nominantur. Aliter vero de loco, quem ut ex Aristotelis libris de Bono desumptum esse attestatur auctor Vitæ Marcianæ, statuendum esse patet. Etsi enim ignoro unde illius error natus sit, quin erraverit nullo tamen modo dubito, et quidem ita ut male libros de Bono pro libris de Philosophia nominasse existimandus sit. Quod si quis audacius a nobis affirmatum esse contendat, consideret, quæso, quam negligenter qui hanc Vitam consarcinavit, et in reliquis ubi verba Aristotelis apposuit, versatus sit (cf. p. 7 et notas Robbii p. 40 sqq.).

Librorum de Bono, ut et hoc addam, obscuriorem fortasse aliquam famam deprehendes apud Dionysium Halicarn. de Thucydide p. 815 Reiske : Ἀριστοτέλης τε γὰρ οὐχ ἅπαντα κατὰ τὸ κράτιστον εἰρῆσθαι πείθεται τῷ καθηγητῇ Πλάτωνι, ὧν ἐστὶ καὶ τὰ περὶ τῆς ἰδέας καὶ τὰ περὶ τἀγαθοῦ καὶ τὰ περὶ πολιτείας. De qua tamen re nihil affirmare velim, quum et de doctrina tantummodo ita loqui potuerit Dionysius.

1. (127.)

Alexand. Aphrodis. in Aristot. Metaphys. III, 2, § 6 (Σχεδὸν δὲ πάντα ἀνάγεται τἀναντία εἰς τὴν ἀρχὴν ταύτην· τεθεωρήσθω δ' ἡμῖν ταῦτα ἐν τῇ Ἐκλογῇ τῶν ἐναντίων), p. 206, 19 Bon. (p. 642, B, 20 Brand.) : Ἀναπέμπει δὲ ἡμᾶς περὶ τοῦ γνῶναι ὅτι σχεδὸν πάντα τὰ ἐναντία ὡς εἰς ἀρχὴν ἀνάγεται τό τε ἓν καὶ τὸ πλῆθος εἰς τὴν Ἐκλογὴν τῶν ἐναντίων, ὡς ἰδίᾳ περὶ τούτων πραγματευσάμενος. Εἴρηκε δὲ περὶ τῆς τοιαύτης ἐκλογῆς καὶ ἐν τῷ δευτέρῳ περὶ τ'Ἀγαθοῦ.

Eandem rem sæpius tangunt veteres interpretes, ita Alexand. Aphrod. in Metaphys. l. l. § 14 (Πάντα δὲ καὶ τἄλλα ἀναγόμενα φαίνεται εἰς τὸ ἓν καὶ πλῆθος· εἰλήφθω γὰρ ἡ ἀναγωγὴ ἡμῖν), p. 218, 10 Bon. : Διὰ δὲ τοῦ « εἰλήφθω γὰρ ἡ ἀναγωγὴ ἡμῖν » ἀναπέμπει πάλιν ἡμᾶς εἰς τὰ ἐν τῷ β' περὶ τ'Ἀγαθοῦ δεδειγμένα; in Metaph. l. l. § 15 (Φανερὸν οὖν καὶ ἐκ τούτων ὅτι μιᾶς ἐπιστήμης τὸ ὂν ᾗ ὂν θεωρῆσαι), p. 218, 15 : εἰπὼν ὅτι πως τὰ ἐναντία πάντα εἰς τὸ ἓν καὶ πλῆθος ἀνάγεται, καὶ τοῦτο δι' ἧς πεποίηται ἀναγωγῆς τῶν ἐναντίων ἐν τῷ β' περὶ τ'Ἀγαθοῦ εἰς ταῦτα πιστωσάμενος... δῆλόν φησι. Alexandrum in hisce omnibus locis exscripsit Asclepius, cf. schol. p. 649, B, 4 Brand. et Pseudo-Philoponus quem citat Ravaisson, *Essai sur la Métaphysique*, t. I, p. 73, nec minus ad eundem auctorem reducenda sunt quæ tribus locis in posterioribus libris commentarii ad Metaphysica qui ex Alexandro excerpti sunt, leguntur. Ita ad Metaph. IX, 3 § 3 (Ἔστι δὲ τοῦ μὲν ἑνός, ὥσπερ καὶ ἐν τῇ διαιρέσει τῶν ἐναντίων διεγράψαμεν, τὸ ταὐτὸ καὶ ὅμοιον καὶ ἴσον, τοῦ δὲ πλήθους τὸ ἕτερον καὶ ἀνόμοιον καὶ ἄνισον), p. 588, 1 Bon. : Πεποίηκε γὰρ διαίρεσιν ἐν τοῖς περὶ τ'Ἀγαθοῦ, ὡς καὶ ἐν ἄλλοις (ad libr. III, 2) εἴπομεν, δι' ἧς ἅπαντα τὰ ἐναντία εἴς τε τὸ πλῆθος καὶ τὸ ἓν ἀνήγαγεν, ad quem locum in cod. Paris. 1853 apud Brand. p. 788, A, 45 adscribitur hoc scholium : Τῷ ἐπιγραφομένῳ περὶ τ'Ἀγαθοῦ βιβλίῳ, ὃ νῦν οὐκ ἔστιν εὑρισκόμενον, in Metaph. X, 3, § 4 (Ἐπεὶ δὲ παντὸς τοῦ ὄντος πρὸς ἕν τι καὶ κοινὸν ἡ ἀναγωγὴ γίγνεται καὶ τῶν ἐναντιώσεων ἑκάστη πρὸς τὰς πρώτας διαφορὰς καὶ ἐναντιώσεις ἀναχθήσεται τοῦ ὄντος, εἴτε πλῆθος καὶ ἓν εἴθ' ὁμοιότης καὶ ἀνομοιότης αἱ πρῶται τοῦ ὄντος εἰσὶ διαφοραὶ εἴτ' ἄλλαι τινές· ἔστωσαν γὰρ αὗται τεθεωρημέναι), p. 616, 1 Bon. : Εἴρηκε γὰρ τίνες αὗται εἰσὶν ἐν τῷ περὶ τ'Ἀγαθοῦ ἐπιγραφομένῳ αὐτοῦ βιβλίῳ· in Metaph. XI, 7 § 4 (ὅτι δ' ἔστι τὸ οὗ ἕνεκα ἐν τοῖς ἀκινήτοις, ἡ διαίρεσις δηλοῖ), p. 669, 26 Bon. : Λέγων διαίρεσιν ἐν ᾗ πολλάκις εἴρηκε τὴν τῶν ἐναντίων πεποιηκέναι ἀναγωγήν· ταύτην δὲ πεποίηκεν ἐν τῷ περὶ τ'Ἀγαθοῦ ἐπιγραφομένῳ βιβλίῳ, quibus locis addendum est Schol. cod. Paris. 1853 ad Metaphys. IX, 4 § 11 (ἀπόχρη δὲ κἂν τὰ πρῶτα καὶ τὰ γένη τῶν ἐναντίων, οἷον τὸ ἓν καὶ τὰ πολλά· τὰ γὰρ ἄλλα εἰς ταῦτα ἀνάγεται), p. 790, A, 11 Brand. : Ἐν τῷ περὶ τ'Ἀγαθοῦ μονοβιβλίῳ, ἐν ᾧ διαίρεσιν πάντων τῶν ἐναντίων ἐποιήσατο, πάντα τε τὰ ἐναντία εἴς τὸ ἓν ἀνῆξε καὶ τὰ πολλά.

DE BONO.

1.

Ut cuncta fere contraria ad unius et multitudinis oppositionem referri intelligamus, relegat nos Aristoteles ad Eclogam (*delectionem seu explicationem*) Contrariorum, quasi de his peculiariter disseruerit. De qua locutus est et in secundo libro de Bono.

2. (128.)

Alexander Aphrod. in Arist. Metaph. I, 6, p. 41, 20 Bon.: Ἀρχὰς μὲν τῶν ὄντων τοὺς ἀριθμοὺς Πλάτων τε καὶ οἱ Πυθαγόρειοι ὑπετίθεντο, ὅτι ἐδόκει αὐτοῖς τὸ πρῶτον ἀρχὴ εἶναι καὶ τὸ ἀσύνθετον, τῶν δὲ σωμάτων πρῶτα τὰ ἐπίπεδα εἶναι (τὰ γὰρ ἁπλούστερά τε καὶ μὴ συναιρούμενα πρῶτα τῇ φύσει), ἐπιπέδων δὲ γραμμαὶ κατὰ τὸν αὐτὸν λόγον, γραμμῶν δὲ στιγμαί, ἃς οἱ μαθηματικοὶ σημεῖα, αὐτοὶ δὲ μονάδας ἔλεγον, ἀσύνθετα παντάπασιν ὄντα καὶ οὐδὲν πρὸ αὐτῶν ἔχοντα· αἱ δὲ μονάδες ἀριθμοί, οἱ ἀριθμοὶ ἄρα πρῶτοι τῶν ὄντων. Καὶ ἐπεὶ τὰ εἴδη πρῶτά τε καὶ αἱ ἰδέαι πρῶται τῶν πρὸς αὐτὰ ὄντων κατ' αὐτὸν καὶ παρ' αὐτῶν τὸ εἶναι ἐχόντων (ἃ ὅτι ἔστι, διὰ πλειόνων ἐπειρᾶτο δεικνύναι), τὰ εἴδη ἀριθμοὺς ἔλεγεν. Εἰ γὰρ τὸ μονοειδὲς πρῶτον τῶν πρὸς αὐτοῦ ὄντων, μηδὲν δὲ πρῶτον ἀριθμοῦ, τὰ εἴδη ἀριθμοί. Διὸ καὶ τὰς τοῦ ἀριθμοῦ ἀρχὰς τῶν τε εἰδῶν ἀρχὰς ἔλεγεν εἶναι καὶ τὸ ἓν τῶν πάντων. Ἔτι τὰ μὲν εἴδη τῶν ἄλλων ἀρχαί, τῶν δὲ ἰδεῶν ἀριθμῶν οὐσῶν ἀρχαὶ αἱ τοῦ ἀριθμοῦ ἀρχαί· ἀρχὰς δὲ ἀριθμοῦ ἔλεγεν εἶναι τήν τε μονάδα καὶ τὴν δυάδα. Ἐπεὶ γὰρ ἔστιν ἐν τοῖς ἀριθμοῖς τὸ ἕν τε καὶ τὸ παρὰ τὸ ἕν, ὅ ἐστι πολλά τε καὶ ὀλίγα, ὃ πρῶτον παρὰ τὸ ἕν ἐστιν ἐν αὐτοῖς, τοῦτο ἀρχὴν ἐτίθετο τῶν τε πολλῶν καὶ τῶν ὀλίγων. Ἔστι δὲ ἡ δυὰς πρώτη παρὰ τὸ ἕν, ἔχουσα ἐν αὐτῇ καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον· τὸ μὲν γὰρ διπλάσιον πολύ, τὸ δὲ ἥμισυ ὀλίγον, ἃ ἔστιν ἐν τῇ δυάδι· ἔστι δὲ ἐναντία τῷ ἑνί, εἴ γε τὸ μὲν ἀδιαίρετον τὸ δὲ διῃρημένον. Ἔτι δὲ τὸ ἴσον καὶ τὸ ἄνισον ἀρχὰς ἁπάντων τῶν τε καθ' αὑτὰ ὄντων καὶ τῶν ἀντικειμένων ἡγούμενος δεικνύναι (πάντα γὰρ ἐπειρᾶτο ὡς εἰς ἁπλούστατα ταῦτα ἀνάγειν), τὸ μὲν ἴσον τῇ μονάδι ἀνετίθει, τὸ δὲ ἄνισον τῇ ὑπεροχῇ καὶ τῇ ἐλλείψει· ἐν δυσὶ γὰρ ἡ ἀνισότης, μεγάλῳ τε καὶ μικρῷ, ἅ ἐστιν ὑπερέχον τε καὶ ἐλλεῖπον. Διὸ καὶ ἀόριστον αὐτὴν ἐκάλει δυάδα, ὅτι μηδέτερον, μήτε τὸ ὑπερέχον μήτε τὸ ὑπερεχόμενον, καθὸ τοιοῦτον, ὡρισμένον, ἀλλ' ἀόριστόν τε καὶ ἄπειρον. Ὁρισθεῖσαν δὲ τῷ ἑνὶ τὴν ἀόριστον δυάδα γίγνεσθαι τὴν ἐν τοῖς ἀριθμοῖς δυάδα· ἓν γὰρ τῷ εἴδει ἡ δυὰς ἡ τοιαύτη. Ἔτι πρῶτος μὲν ἀριθμὸς ἡ δυάς· ταύτης δὲ ἀρχαὶ τό τε ὑπερέχον καὶ τὸ ὑπερεχόμενον, ἐπεὶ ἐν μὲν τῇ δυάδι πρώτῃ· τὸ μὲν γὰρ διπλάσιον καὶ τὸ ἥμισυ ὑπερέχον τε καὶ ὑπερεχόμενον, οὐκέτι δὲ τὸ ὑπερέχον τε καὶ ὑπερεχόμενον διπλάσιον καὶ ἥμισυ· ὥστε ταῦτα τοῦ διπλασίου εἶναι στοιχεῖα. Καὶ ἐπεὶ ὁρισθέντα τὸ ὑπερέχον τε καὶ τὸ ὑπερεχόμενον διπλάσιον καὶ ἥμισυ γίγνεται (οὐκέτι γὰρ ἀόριστα ταῦτα, ὥσπερ οὐδὲ τὸ τριπλάσιον καὶ τὸ τρίτον ἢ τετραπλάσιον καὶ τέταρτον ἤ τι τῶν ἄλλων τῶν ὡρισμένην ἐχόντων τὴν ὑπεροχὴν ἤδη), τοῦτο δὲ ἡ τοῦ ἑνὸς φύσις ποιεῖ (ἓν γὰρ ἕκαστον, καθὸ τόδε τί ἐστι καὶ ὡρισμένον), εἴη ἂν στοιχεῖον τῆς δυάδος τῆς ἐν τοῖς ἀριθμοῖς τό τε ἓν καὶ τό μέγα καὶ τὸ μικρόν. Ἀλλὰ μὴν πρῶτος ἀριθμὸς ἡ δυάς· ταῦτα ἄρα τῆς δυάδος στοιχεῖα. Καὶ διὰ τοιαῦτα μέν τινα ἀρχὰς τῶν τε ἀριθ-

2.

Numeros principia rerum esse Platonis et Pythagoreorum placitum fuit. Primum namque incompositum ipsis principium esse videbatur. Porro corporibus plana esse priora, simpliciora enim nec contracta prima esse naturâ; planis eadem ratione lineas, lineis puncta, quæ a mathematicis signa, ab his unitates appellabantur: quæ simplicia omnia sunt, nec habent quidquam ante se. At unitates numeri sunt, numeri ergo priores sunt entibus, et quoniam formæ per Platonem ideæque priores sunt rebus, quæ ad sui exemplar efficiuntur, et ab ipsis habent esse, quas ideas esse multis rationibus confirmare conabatur, idcirco formas numeros esse dicebat. Si enim solitarium prius est iis, quæ ab ipso exsistunt, nihil autem est prius numero, superest ut formæ numeri sint. Quocirca numerorum principia, formarum esse principia dicebat, unum autem omnium. Præterea formas aliarum rerum esse principia, formarum autem quæ numeri sunt, principia esse ipsius numeri principia. Tum numeri unitatem et dualitatem principia esse confirmabat. Nam quum sit in numeris unum et non unum, quod est plura et pauca, quod primum in ipsis non est unum, id multorum et paucorum principium esse dicebat. Primum autem non unum est dualitas, quæ in se multum continet atque paucum. Nam duplum multum est, dimidium vero paucum, quæ in dualitate insunt. Est autem dualitas uni opposita, siquidem illud est individuum, hæc autem divisa. Præterea putans se demonstrare æquale et inæquale principia esse omnium tum per se exsistentium, tum his oppositorum, nihil enim relinquit inexpertum, ut ad simplicissimum omnia referat, æquale refert ad unitatem, inæquale vero ad excessum et defectum. Inæqualitas enim in duobus, inest enim in magno et parvo, quæ sunt excedens et deficiens. Quamobrem ipsam dualitatem indefinitum appellabat, quod neutrum ipsorum, neque superans neque superatum, quatenus est tale, determinatum esset, sed indeterminatum et infinitum. Ceterum dualitatem indefinitam, uno terminatam, fieri dualitatem, quæ in numeris habetur. Dualitas enim hujusmodi est unum specie, præterea dualitas primus est numerus. Hujus vero principia sunt excedens et excessum, quoniam in prima dualitate est duplum et dimidium, duplum autem et dimidium est excedens et excessum; quo fit ut hæc sint elementa dupli. Et quia excedens et excessum determinata duplum et dimidium efficiuntur, neque enim amplius hæc sunt indeterminata, non magis quam triplum tertiumque vel quadruplum et quartum aut aliorum quodque, habentium jam excessum determinatum, hoc autem facit unius natura, unum quod-

μῶν καὶ τῶν ὄντων ἁπάντων ἐτίθετο Πλάτων τό τε ἓν καὶ τὴν δυάδα, ὡς ἐν τοῖς περὶ τἀγαθοῦ Ἀριστοτέλης λέγει. Cf. ib. 9 § 3, p. 63, 17 Bon. : Αἱ γὰρ ἀρχαὶ αὐτοῖς καὶ αὐτῶν τῶν ἰδεῶν εἰσὶν ἀρχαί. Ἀρχαὶ δέ εἰσι τό τε ἓν καὶ ἡ ἀόριστος δυὰς, ὡς πρὸ ὀλίγου τε εἴρηκε καὶ ἱστόρηκεν αὐτὸς (ὁ Ἀριστοτέλης scil.) ἐν τοῖς περὶ τἀγαθοῦ.

3. (129.)

Ex Alexandro et Porphyrio, ut ipsi testantur, suam de hac doctrina ceteri hauserunt Aristotelis interpretes notitiam : ita Simplicius in Aristot. Physic. I, 4 f. 32 verso (p. 334, B, 25) : Λέγει δὲ ὁ Ἀλέξανδρος ὅτι κατὰ Πλάτωνα πάντων ἀρχὴ καὶ αὐτῶν τῶν ἰδεῶν τό τε ἕν ἐστι καὶ ἡ ἀόριστος δυὰς, ἣν μέγα καὶ μικρὸν ἔλεγεν, ὡς καὶ ἐν τοῖς περὶ τἀγαθοῦ Ἀριστοτέλης μνημονεύει. Λάβοι δὲ ἄν τις καὶ παρὰ Σπευσίππου καὶ παρὰ Ξενοκράτους καὶ τῶν ἄλλων, οἳ παρεγένοντο ἐν τῇ περὶ τἀγαθοῦ τοῦ Πλάτωνος ἀκροάσει· πάντες γὰρ συνέγραψαν καὶ διεσώσαντο τὴν δόξαν αὐτοῦ καὶ ταύταις αὐτὸν ἀρχαῖς χρῆσθαι λέγουσι.

Idem ad III, 4, ib. f. 104 verso (p. 362, A, 7) : Ἀρχὰς γὰρ καὶ τῶν αἰσθητῶν τὸ ἓν καὶ τὴν ἀόριστόν φασι δυάδα λέγειν τὸν Πλάτωνα, τὴν δὲ ἀόριστον δυάδα καὶ ἐν τοῖς νοητοῖς τιθεὶς ἄπειρον εἶναι ἔλεγεν· καὶ τὸ μέγα δὲ καὶ τὸ μικρὸν ἀρχὰς τιθεὶς ἄπειρον εἶναι ἔλεγεν ἐν τοῖς περὶ τἀγαθοῦ λόγοις, οἷς ὁ Ἀριστοτέλης καὶ Ἡρακλείδης καὶ Ἑστιαῖος καὶ ἄλλοι τοῦ Πλάτωνος ἑταῖροι παραγενόμενοι ἀπεγράψαντο τὰ ῥηθέντα αἰνιγματωδῶς, ὡς ἐρρήθη. Πορφύριος δὲ διαρθροῦν αὐτὰ ἐπαγγελλόμενος, τάδε περὶ αὐτῶν γέγραφεν ἐν τῷ Φιλήβῳ (in commentario scil. in Platonis Philebum)· « Αὐτὸς τὸ μᾶλλον καὶ τὸ ἧττον καὶ τὸ σφόδρα καὶ τὸ ἠρέμα τῆς ἀπείρου φύσεως εἶναι βούλεται. Ὅπου γὰρ ἂν ταῦτα ἐνῇ κατὰ τὴν ἐπίτασιν καὶ ἄνεσιν προϊόντα, οὐχ ἵσταται οὐδὲ περαίνει τὸ μετέχον αὐτῶν, ἀλλὰ πρόεισιν εἰς τὸ τῆς ἀπειρίας ἀόριστον. Ὁμοίως δὲ ἔχει καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον, καὶ τὰ ἀντ' αὐτῶν λεγόμενα ὑπὸ Πλάτωνος τὸ μέγα καὶ τὸ μικρόν. Ὑποκείσθω γάρ τι μέγεθος πεπερασμένον οἷον πῆχυς, οὗ δίχα διαιρεθέντος, εἰ τὸ μὲν ἕτερον ἡμίπηχυ ἄτμητον ἐάσωμεν, τὸ δὲ ἕτερον ἡμίπηχυ τέμνοντες κατὰ βραχὺ προστίθεμεν τῷ ἀτμήτῳ, δύο ἂν γένοιτο τῷ πήχει μέρη, τὸ μὲν ἐπὶ τὸ ἔλαττον προϊὸν, τὸ δὲ ἐπὶ τὸ μεῖζον ἀτελευτήτως· οὐ γὰρ ἄν εἰς ἀδιαίρετόν γε μέρος ποτὲ ἔλθοιμεν τέμνοντες· συνεχὲς γάρ ἐστιν ὁ πῆχυς· τὸ δὲ συνεχὲς διαιρεῖται εἰς ἀεὶ διαιρετά. Ἡ δὲ τοιαύτη ἀδιάλειπτος τομὴ δηλοῖ τινα φύσιν ἀπείρου κατακεκλεισμένην ἐν τῷ πήχει. Μᾶλλον δὲ πλείους, τὴν μὲν ἐπὶ τὸ μέγα τὴν δὲ ἐπὶ τὸ μικρόν. Ἐν τούτοις δὲ καὶ ἡ ἀόριστος δυὰς ὁρᾶται ἔκ τε τῆς ἐπὶ τὸ μέγα καὶ τῆς ἐπὶ τὸ μικρὸν μονάδος συγκειμένη· καὶ ὑπάρχει ταῦτα τοῖς τε συνεχέσι σώμασι καὶ τοῖς ἀριθμοῖς· ἀριθμὸς μὲν γὰρ πρῶτος ἡ δυὰς ἄρτιος. Ἐν δὲ τῇ φύσει τοῦ ἀρτίου τό τε διπλάσιον ἐν ὑπεροχῇ, τὸ δὲ ἥμισυ ἐν ἐλλείψει· ὑπεροχὴ οὖν καὶ ἔλλειψις ἐν τῷ ἀρτίῳ· πρῶτος δὲ ἄρτιος ἐν ἀριθμοῖς ἡ δυὰς, ἀλλὰ καθ' αὑτὴν μὲν ἀόριστος· ὡρίσθη δὲ τῇ τοῦ ἑνὸς μετοχῇ· ὥρισται γὰρ ἡ δυὰς καθ' ὅσον ἕν τι εἶδός ἐστι. Στοιχεῖα οὖν καὶ ἀριθμῶν τὸ ἓν καὶ ἡ δυὰς, τὸ μὲν περαῖνον καὶ εἰδοποιοῦν, ἡ δὲ ἀόριστος καὶ ἐν ὑπεροχῇ καὶ ἐν ἐλλείψει. » Ταῦτα ὁ Πορφύριος εἶπεν αὐτῇ σχεδὸν τῇ λέξει, διαρθροῦν ἐπαγγειλάμενος τὰ ἐν τῇ περὶ τἀγαθοῦ συνουσίᾳ αἰνιγματωδῶς ῥηθέντα, καὶ ἴσως ὅτι σύμφωνα ἐκεῖνα ἦν τοῖς ἐν Φιλήβῳ γεγραμμένοις. Καὶ ὁ Ἀλέξανδρος δὲ καὶ αὐτὸς ἐκ τῶν περὶ τἀγαθοῦ λόγων τοῦ Πλάτωνος ὁμολογῶν λέγειν, οὓς ἱστόρησαν Ἀριστοτέλης τε καὶ

---

que enim quatenus hoc aliquid est, determinatum habetur idcirco unum, et magnum atque parvum dualitatis, quæ in numeris habetur, elementum esse videtur, at primus numerus est dualitas : hæc ergo sunt dualitatis elementa. Atque ob talia quidem Plato unum et dualitatem et numerorum et omnium rerum principia esse statuebat, ut Aristoteles refert in libris de Bono.

Nam principia his ipsarum quoque idearum sunt principia. Sunt vero principium unum et dualitas indefinita, ut paulo ante dixit, et ipse refert in libris de Bono.

3.

Alexander dicit Platonem statuisse principium omnium et ipsarum idearum etiam unum et indefinitam dualitatem, quam magnum et parvum dixit, ceu Aristoteles in libris de Bono meminit. Sed hoc quispiam potius accipiat a Speusippo, Xenocrate et aliis, qui interfuerant lectionibus Platonis de Bono. Nam omnes conscripserunt et servaverunt opinionem ejus, et dicunt illum his principiis usum fuisse.

Nam aiunt Platonem dicere sensibilium principia esse unum et infinitam dualitatem, sed infinitam dualitatem etiam in intelligibilibus ponens infinitam esse dixit. Item magnum et parvum principia ponens infinita esse, dixit in sermonibus de Bono, quibus Aristoteles, Heraclides, Hestiæus et alii socii Platonis quum interfuissent, dicta ænigmatice ut dicta sunt descripserunt. At Porphyrius, quum distincte ipsa proferat, hæc de ipsis scripsit in Philebo : « Ipse magis et minus, vehemens et sensim, infinitæ naturæ esse vult. Nam ubi hæc insunt secundum intensionem et remissionem procedentia non sistuntur neque terminant id quod eis participat, sed procedunt in ipsam indefinitatem infinitudinis. Similiter quoque se habent magis et minus, quæ sic dicta ab eis a Platone dicuntur magnum et parvum. Nam statuatur quædam magnitudo finita, ceu cubitalis, qua in duas partes divisa,

οἱ ἄλλοι τοῦ Πλάτωνος ἑταῖροι ταδὶ γέγραφε. Ζητῶν γὰρ τὰς ἀρχὰς τῶν ὄντων ὁ Πλάτων, ἐπεὶ πρῶτος ὁ ἀριθμὸς ἐδόκει αὐτῷ τῇ φύσει εἶναι τῶν ἄλλων· καὶ γὰρ τῆς γραμμῆς τὰ πέρατα σημεῖα, τὰ δὲ σημεῖα εἶναι μονάδας θέσιν ἐχούσας, ἄνευ τε γραμμῆς μήτε ἐπιφάνειαν εἶναι μήτε στερεὸν, τὸν δὲ ἀριθμὸν καὶ χωρὶς τούτων εἶναι δύνασθαι· ἐπεὶ τοίνυν πρῶτος τῶν ἄλλων τῇ φύσει ὁ ἀριθμὸς, ἀρχὴν τοῦτον ἡγεῖτο εἶναι καὶ τὰς τοῦ πρώτου ἀριθμοῦ ἀρχὰς καὶ παντὸς ἀριθμοῦ ἀρχὰς εἶναι. Πρῶτος δὲ ἀριθμὸς ἡ δυάς, ἧς ἀρχὰς ἔλεγεν εἶναι τό τε ἓν καὶ τὸ μέγα καὶ τὸ μικρόν. Καθὸ γὰρ δυάς ἐστι, πλῆθος καὶ ὀλιγότητα ἔσχεν ἐν ἑαυτῇ· καθὸ μὲν τὸ διπλάσιόν ἐστιν ἐν ἑαυτῇ πλῆθος· πλῆθος γὰρ καὶ ὑπεροχὴ καὶ μέγεθός τι τὸ διπλάσιον· καθὸ δὲ ἥμισυ, ὀλιγότητα. Διὸ ὑπεροχὴν καὶ ἔλλειψιν καὶ μέγα καὶ μικρὸν εἶναι ἐν αὐτῇ κατὰ ταῦτα. Καθὸ δὲ ἑκάτερόν τε τῶν μορίων αὐτῆς μονὰς καὶ αὕτη ἕν τι εἶδός ἐστι, τὸ δυαδικόν, μονάδος αὐτὴν μετέχειν. Διὸ ἀρχὰς τῆς δυάδος ἔλεγε τὸ ἓν καὶ τὸ μέγα καὶ τὸ μικρόν. Ἀόριστον δὲ δυάδα ἔλεγεν αὐτὴν τῷ μεγάλου καὶ μικροῦ μετέχουσαν, ἤτοι μείζονος καὶ ἐλάττονος, τὸ μᾶλλον καὶ ἧττον ἔχειν. Κατὰ γὰρ ἐπίτασιν καὶ ἄνεσιν προϊόντα ταῦτα οὐχ ἵσταται, ἀλλ' ἐπὶ τὸ τῆς ἀπειρίας ἀόριστον προχωρεῖ. Ἐπεὶ οὖν πρῶτος ἀριθμῶν ἀρτίων ἡ δυάς, ταύτης δὲ ἀρχὴ τὸ ἓν καὶ τὸ μέγα καὶ τὸ μικρὸν, καὶ παντὸς ἀριθμοῦ ἀρχὰς ταύτας εἶναι ἀνάγκη. Οἱ δὲ ἀριθμοὶ στοιχεῖα τῶν ὄντων πάντων· ὥστε καὶ πάντων ἀρχὴ τὸ ἓν καὶ τὸ μέγα καὶ τὸ μικρόν, ἤτοι ἡ ἀόριστος δυάς. Καὶ γὰρ ἕκαστος τῶν ἀριθμῶν καθ' ὅσον μὲν ὅδε τίς ἐστι καὶ εἷς καὶ ὡρισμένος, τοῦ ἑνὸς μετέχει· καθ' ὅσον δὲ διαιρεῖται καὶ πλῆθός ἐστι, τῆς ἀορίστου δυάδος. Ἔλεγε δὲ καὶ τὰς ἰδέας ὁ Πλάτων ἀριθμούς. Εἰκότως ἄρα τὰς ἀρχὰς τοῦ ἀριθμοῦ καὶ τῶν ἰδεῶν ἀρχὰς ἐποίει. Τὴν δὲ δυάδα τοῦ ἀπείρου φύσιν ἔλεγεν, ὅτι οὐχ ὥρισται τὸ μέγα καὶ τὸ μικρὸν, ἤτοι τὸ μεῖζον καὶ τὸ ἔλαττον, ἀλλ' ἔχει τὸ μᾶλλον καὶ ἧττον, ἅπερ εἰς ἄπειρον πρόεισιν· οὕτως οὖν εἰπὼν ὁ Ἀριστοτέλης ἐν τίσι μὲν οἱ Πυθαγόρειοι, ἐν τίσι δὲ ὁ Πλάτων ἐτίθετο τὸ ἄπειρον, ἐφεξῆς ἱστορεῖ τί τὸ ἄπειρον ἔλεγον οἱ Πυθαγόρειοι καὶ διὰ τί.

Non aliunde ducta sunt quæ habet Simplicius in Arist. Physic. fol. 117 recto (p. 368, A, 28) : Δείξας (ὁ Ἀριστοτέλης) ὅτι περιέχεται μᾶλλον τὸ ἄπειρον ἤπερ περιέχει, καὶ ὅτι ἄγνωστόν ἐστι τῇ ἑαυτοῦ φύσει, τὴν ἐπιπόλαιον ἐκδοχὴν ἐλέγχει τῶν τοῦ Πλάτωνος λόγων. Τοῦ γὰρ Πλάτωνος ἐν τοῖς περὶ τἀγαθοῦ λόγοις εἰπόντος τὸ μέγα καὶ τὸ μικρὸν τὴν ὕλην, ἣν καὶ ἄπειρον ἔλεγε, καὶ περιέχεσθαι ὑπὸ τοῦ ἀπείρου πάντα τὰ αἰσθητά, καὶ ἄγνωστα εἶναι διὰ τὸ ἔνυλον καὶ ἄπειρα καὶ ῥευστὴν ἔχειν τὴν φύσιν, ἀκόλουθόν φησι δοκεῖν τῷ τοιούτῳ τὸ καὶ ἐν τοῖς νοητοῖς ὑπὸ τοῦ ἐκεῖ μεγάλου καὶ μικροῦ, ὅπερ ἐστὶν ἡ ἀόριστος δυάς, ἀρχὴ καὶ αὕτη οὖσα μετὰ τοῦ ἑνὸς παντὸς ἀριθμοῦ καὶ πάντων τῶν ὄντων (ἀριθμοὶ γὰρ καὶ αἱ ἰδέαι). Ἀκόλουθον οὖν τὸ καὶ ἐν τοῖς νοητοῖς ὑπὸ τοῦ ἐκεῖ ἀπείρου καὶ ἀγνώστου περιέχεσθαι καὶ ὁρίζεσθαι τὰ νοητά, γνωστὰ ὄντα φύσει καὶ ὡρισμένα ἅτε εἴδη ὄντα, quibus præter Platonis mentionem, non plura continentur quam quæ ipsius Aristotelis verbis l. l. dicta sunt.

Quæ vero jam sequentur non ex alio fonte derivata sunt, etsi liber περὶ Φιλοσοφίας nominetur, eodem scilicet nomine quo ipse Aristoteles has Platonis disputationes designaverat :

Alexand. Aphrod. in Arist. Metaph. I, 9, p. 86, 31 Bon. : Ἐκτίθεται δὲ τὸ ἀρέσκον αὐτοῖς, ὃ καὶ ἐν τοῖς περὶ Φιλοσοφίας εἴρηκε· βουλόμενοι γὰρ τὰ ὄντα...ἀνάγειν εἰς τὰς ἀρχὰς ἃς ὑπέθεντο· ἦσαν δὲ αὐτοῖς ἀρχαὶ τῶν ὄντων τὸ μέγα καὶ τὸ μικρὸν, ἣν ἔλεγον ἀόριστον δυάδα· εἰς δὴ ταύτην θέλοντες πάντα ἀναγαγεῖν, τοῦ μὲν μήκους ἀρχὰς ἔλεγον τὸ βραχὺ καὶ

---

si alteram partem semicubitalem indivisibilem relinquamus, et alteram dimidiam adhuc secantes, quam secundum minorem partem addemus indivisibili, tum duæ fierent partes cubitalis magnitudinis, alia procedens in minus, alia vero in majus sine fine. Non enim in indivisibilem partem veniemus, secantes partem. Nam ubi talis magnitudo continuo est, et continuum dividitur semper in divisibilia. Et hæc divisio indeficiens indicat quandam naturam infiniti conclusam et reconditam in cubitali magnitudine. Sed magis est quoad multitudinem, cujus alia est ad magnum, et alia ad parvum. In his autem et quædam dualitas indefinita videtur compositi ex unitate in magnum et parvum. Et hæc insunt continuis corporibus et numeris. Numerus enim primus par est dualitas. Sed in natura paris duplum continetur et dimidium, sed duplum in excessu et dimidium in defectu. Excessus igitur et defectus in numero pari. Primus autem numerus par in numeris est dualitas, sed per se est indefinita : definita autem est participatione unius. Nam definitur dualitas quatenus una quædam forma est. Elementa igitur numerorum sunt unum et dualitas, aliud terminus et in formam redigens, alterum autem indefinitum in excessu et defectu. » Hæc Porphyrius dixit suis prope verbis, determinans proferendo, quæ habentur ænigmatice dicta in colloquiis de Bono, et quia illa forte erant consona scriptis in Philebo: Et ipse Alexander ex sermonibus de Bono Platonis asserens se dicturum, quos Aristoteles et alii Platonis sodales narrarunt, hæc scripsit : « Nam quum quærat Plato principia rerum, primus numerus videbatur ipsi naturâ esse aliorum principium. Etenim lineæ terminos, puncta, et puncta esse unitates habentes positionem. Equidem sine linea nec superficies est, nec solidum. At numerus et sine his esse potest. Parem igitur numerum quum primum esse aliorum natura censuit, etiam ipsum esse principium putavit, et principia

μακρόν, ὡς ἐκ μακροῦ τινὸς καὶ βραχέος τὴν γένεσιν ἔχοντος τοῦ μήκους, ἅ ἐστι μέγα καὶ μικρόν, ἢ ὡς πάσης γραμμῆς ἐν τῷ ἑτέρῳ τούτων οὔσης, τοῦ δὲ ἐπιπέδου τὸ στενὸν καὶ πλατύ, ἃ καὶ αὐτά ἐστι μέγα καὶ μικρόν.

Pseudo Alexand. in Arist. Metaph. XII, 9, p. 756, 10 Bon.: Λέγει δὲ ὅτι βουλόμενοι καὶ τὰ μεγέθη παράγειν ἀπὸ τῶν δύο ἀρχῶν, τοῦ τε ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, ἐκ μὲν τῆς δυάδος φασὶ τήν τε γραμμὴν τὸ μακρὸν καὶ βραχὺ λαβεῖν, τό τε ἐπίπεδον τὸ πλατὺ καὶ στενόν, τό τε στερεὸν τὸ βαθὺ καὶ ταπεινόν· ταῦτα γὰρ τὸ μακρὸν καὶ βραχὺ καὶ τὰ λοιπὰ εἴδη ἐκάλουν τοῦ μεγάλου καὶ μικροῦ τοῦ ἐν τῇ ἀορίστῳ δυάδι. Τὴν δὲ κατὰ τὸ ἕν, φησίν (in l. l. Metaph. scil. § 13), ἀρχὴν οὐχ ὁμοίως εἰσῆγον ἅπαντες, ἀλλ' οἱ μὲν αὐτοὺς τοὺς ἀριθμοὺς τὰ εἴδη τοῖς μεγέθεσιν ἔλεγον ἐπιφέρειν, οἷον δυάδα μὲν γραμμῇ, τριάδα δὲ ἐπιπέδῳ, τετράδα δὲ στερεῷ (τοιαῦτα γὰρ ἐν τοῖς περὶ Φιλοσοφίας ἱστορεῖ περὶ Πλάτωνος, δι' ὃ καὶ ἐνταῦθα βραχέως καὶ συντόμως τὴν τούτων ἐξέθετο διάνοιαν), οἱ δὲ μεθέξει τοῦ ἑνὸς τὸ εἶδος ἀποτέλουν τῶν μεγεθῶν, quæ ad verbum cum Syriani commentario consentiunt; cf. Brandis, *Diatribe*, etc., p. 43.

Cum his conferenda sunt quæ habet Themistius in Paraphr. de Anima, f. 66 verso, t. II, p. 20, 20 ed. Spengel.: Τοὺς ἀριθμοὺς δὲ ἐκείνους εἴδη τῶν ὄντων ἐτίθεντο ... τοῦ μὲν οὖν αὐτοζῴου, τουτέστι τοῦ κόσμου τοῦ νοητοῦ, στοιχεῖα τὰ πρῶτα ἐποίουν τῶν εἰδητικῶν ἀριθμῶν, τὴν τοῦ ἑνὸς ἰδέαν καὶ τὴν τῆς πρώτης δυάδος καὶ τὴν τῆς πρώτης τριάδος καὶ τὴν τῆς πρώτης τετράδος. Ἐπειδὴ γὰρ ἐν τῷ νοητῷ κόσμῳ δεῖ πάντως τὰς ἀρχὰς παρεμφαίνεσθαι τοῦ αἰσθητοῦ, ὁ δὲ αἰσθητὸς ἐκ μήκους ἤδη καὶ πλάτους καὶ βάθους, τοῦ μὲν μήκους ἰδέαν εἶναι τὴν πρώτην ἀπεφήναντο δυάδα· ἀπὸ γὰρ ἑνὸς ἐφ' ἓν τὸ μῆκος, τουτέστιν ἀπὸ σημείου ἐπὶ σημεῖον· τοῦ δὲ μήκους ἅμα καὶ πλάτους τὴν πρώτην τριάδα, πρῶτον γὰρ τῶν ἐπιπέδων σχημάτων ἐστὶ τὸ τρίγωνον· τοῦ δὲ μήκους καὶ πλάτους καὶ βάθους τὴν πρώτην τετράδα· πρῶτον γὰρ τῶν στερεῶν ἐστιν ἡ πυραμίς. Ταῦτα δὲ ἅπαντα λαβεῖν ἔστιν ἐκ τῶν περὶ Φύσεως Ξενοκράτους.

Ad ipsos Aristotelis libros περὶ τἀγαθοῦ referenda esse censeo quæ habent Themistius Paraphr. in Arist. Phys. IV, 2, fol. 37 verso (p. 371, B, 20 Brand., t. I, p. 259, 22 Spengel.): Καίτοι τὴν ὕλην ἄλλως μὲν ἐν Τιμαίῳ φησὶ δέχεσθαι τὰ εἴδη, ἄλλως δὲ ἐν τοῖς ἀγράφοις δόγμασιν· ἐκεῖ μὲν γὰρ κατὰ μέθεξιν, ἐν τοῖς ἀγράφοις δὲ καθ' ὁμοίωσιν. Ἀλλ' ὅμως, ὅπερ εἶπον, δόξειεν ἂν ταὐτὸν ἀποφαίνεσθαι ὕλην καὶ τόπον, et Simplicius ib. fol. 126 recto: Ἄλλον δὲ τρόπον ἐν Τιμαίῳ τὴν ὕλην καὶ ἄλλον ἐν ταῖς ἀγράφοις συνουσίαις ὀνομάσαι φησίν. Ἐν Τιμαίῳ μὲν γὰρ τὴν ἀπειρότητα τοῦ νοητοῦ· ἐν δὲ ταῖς ἀγράφοις συνουσίαις μέγα καὶ μικρὸν ἐκάλει, et iterum fol. 127 recto: Τὸ δὲ μεθεκτικὸν ἐν μὲν ταῖς ἀγράφοις περὶ τἀγαθοῦ συνουσίαις μέγα καὶ μικρὸν ἐκάλει, testari videtur Joannes Philoponus IV, p. 10 (p. 371, B, 23), qui ad eundem Aristotelis locum hæc habet: Τουτέστιν ἄλλως ἐν τῷ Τιμαίῳ τὴν ὕλην ὀνομάζων καὶ ἄλλως ἐν τοῖς ἀγράφοις δόγμασιν, τουτέστιν ἐν ταῖς ἀγράφοις συνουσίαις· ἐν αὐταῖς γὰρ μέγα καὶ μικρὸν ἐκάλει τὴν ὕλην ... τὰς δὲ ἀγράφους συνουσίας τοῦ Πλάτωνος αὐτὸς ὁ Ἀριστοτέλης ἀπο-

---

primi numeri cujuscunque etiam numeri principia esse censuit. Sed primus numerus est dualitas, cujus principia dixit esse unum, magnum et parvum. Nam quatenus dualitas est, multitudinem et paucitatem in se retinet, quatenus vere duplum est, in ipsa multitudo est. Nam multitudo est excessus et magnitudo aliquod duplum et quatenus dimidium paucitas est: ideo excessum et defectum magnum et parvum esse in ipsa secundum hæc posuit, quatenus vero utraque pars ejus est unitas, et ipsa dualitas una quædam forma quum participet unitate, ideo principia dualitatis dixit esse unum, magnum et parvum. Verum dualitatem esse indefinitam quæ participat magno et parvo, vel majore et minore, quum habeat magis et minus. Nam secundum intensionem et remissionem hæc procedentia non stant, sed procedunt in indefinitatem infinitudinis. Quia igitur primus numerus est dualitas et hujus principium est unum, magnum et parvum, et omnis numeri eadem principia esse necesse est. Sed numeri sunt elementa omnium, quæ sunt; quare et omnium principium est unum et magnum atque parvum, vel indeterminata dualitas. Etenim unusquisque numerorum quatenus est unum aliquid et definitum, uno participat, sed quatenus dividitur, quum etiam multitudo sit, indeterminatæ dualitatis. Plato autem dixit et ideas numeros. Merito igitur principia numeri et idearum principia fecit. Sed dualitatem naturam infiniti esse dixit, quia magnum et parvum non sunt determinata, vel magis et minus. Sed habent magis et minus quæ in infinitum procedunt. » Sic ergo quum dicat Aristoteles, in quibus Pythagorei et in quibus Plato posuere infinitum, deinceps narrat quid esse infinitum dixere Pythagorei et propter quid.

Plato quum dicat in sermone de Bono magnum et parvum materiam, quam et infinitam dixit, et ultro contineri omnia sensilia ab ipso infinito et ignota esse ob materiam et infinitum et habere naturam fluxilem, consequens, inquit, huic videtur illud, scilicet etiam in intelligibilibus redigi sub parvo et magno ibi principium, quod est ipsa dualitas indeterminata, quæ ipsa quoque principium est cum uno, quod est cujuscunque numeri principium et rerum omnium. Nam numeri et ideæ sunt. Consequens igi-

γράψατο. Locum Joannis Philoponi in Arist. de Gen. et corrupt. II, 3, supra jam attulimus. Inde et illud vides satis verisimiliter hinc fluxisse quæ apud Asclepium in Aristotelis Metaphys. I, p. 567, A, 24 leguntur : Κακῶν μέντοι γε οὔ φαμεν εἶναι ἰδέας· τὰ γὰρ κακὰ τῷ ὄντι ἀνυπόστατα ὑπάρχουσι καὶ παρυφίστανται, ὡς λέγεται ἐν ταῖς Πλατωνικαῖς συνουσίαις.

4. (130.)

XXXIX. Cod. Marc. 19 : Διαιρεῖται ὁ χρόνος εἰς τρία· ἔστι γὰρ ἢ παρεληλυθὼς ἢ παρὼν ἢ μέλλων, ὃν καὶ παρεσόμενον καλοῦσιν. Εἰσὶ δὲ ἐν μὲν τῷ παρεληλυθότι μνῆμαι καὶ τὸ μνημονεύειν· ἅπαντες γὰρ τὰ παρῳχημένα μνημονεύουσιν· ἐν δὲ τῷ παρόντι αἱ ἐπιστῆμαι καὶ αἱ γνώσεις καὶ οἱ λογισμοὶ καὶ αἱ πράξεις αἱ πρασσόμεναι· ἐν δὲ τῷ μέλλοντι αἱ προσδοκίαι καὶ ἐλπίδες καὶ πᾶν τὸ τοιοῦτον.

XL. Cod. Marc. 21 : Διαιρεῖται ἡ ὄρεξις τοῦ πράττειν εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν τοῦ ἡδέος, ἓν δὲ τοῦ καλοῦ, ἓν δὲ τοῦ συμφέροντος. Ἔστι δὲ ἡ μὲν τοῦ ἡδέος ὄρεξις ταῖς ἐπιθυμίαις ὑπηρετεῖν, ἡ δὲ τοῦ καλοῦ τιμῆς ἕνεκεν καὶ εὐδοξίας, ἡ δὲ τοῦ συμφέροντος κέρδους καὶ ὠφελείας ἕνεκεν γενομένη [γιν.?].

XLI. Cod. Marc. 22 : Διαίρεσις τῆς τῶν ὄντων ὀνομασίας εἰς πέντε γίνεται· ἔστι γὰρ αὐτῶν λεγόμενα τὰ μὲν ὥσπερ ἓν πρὸς πολλά, τὰ δὲ ὡς πολλὰ πρὸς πολλὰ καὶ πρὸς ἕν, τὰ δὲ ὡς ἀνόμοια ὡς πρὸς ὅμοια, τὰ δὲ ὡς ὅμοια πρὸς ὅμοια, τὰ δὲ ὡς ἓν πρὸς ἕν. Τὰ μὲν οὖν ὡς ἓν πρὸς πολλὰ, οἷον τάχιστος καὶ μέγιστος καὶ κάλλιστος καὶ τὰ τοιαῦτα· τὰ δὲ ὡς πολλὰ πρὸς

---

in faciendo; quæ ad agendi in actionibus est. Ignorantiæ igitur pars versatur circum contemplativam facultatem, pars circum efficiendi, pars circum agendi.

XXXVI. Generis humilitas in tria dividitur : alia enim est obscuris et vilibus natum esse parentibus, alia ex injustis et pravis, alia a propria perversitate. Obscuris et vilibus parentibus nati esse dicuntur, quorum majores ignobiles natura et aliter sine nomine fuerunt; ab injustis et pravis, quum sive proditores fuerunt sive alia quadam injustitia et pravitate inquinati sunt; a propria autem perversitate ignobilis erit, qui ipse injustus aut maleficus erit, aut aliam malam famam habebit. Generis igitur humilitas alia est obscuris et vilibus ortum esse parentibus, alia injustis et pravis, alia a propria perversitate et pravitate.

XXXVII. Motus tres sunt species : alia enim est secundum locum, alia secundum alterationem, alia motus ipse per semetipsum. Motus secundum locum est locum loco mutare, ut currentes, salientes, navigantes et ceteri similes motus. Motus secundum alterationem eorum est qui augentur, senescunt, decrescunt et alia hujusce modi. Motu ipso per se moventur rotæ, turbones, mundus et alia hujus generis. Motus igitur alius est secundum locum, alius secundum alterationem, alius per semet ipsum.

XXXVIII. Στάσις (triplici sensu *stationis, factionis* sive *dissensionis* et *librationis* sive *ponderationis*, Cf. H. Steph. Thes. s. v. p. 663, A) Status in tria dividitur : illius enim unum est mansio, alterum dissensio, tertium vero gravidorum atque levium ratio. Mansio est stabilitas in semet ipsa, quam patiuntur cadavera, lapides et alia similia. Dissensio est civium vel hostium vel aliorum animantium ad inimicitiam vel pugnam. Ratio gravidorum atque levium æstimatio est gravidi et levis per pondus.

XXXIX. Dividitur tempus in tria : est enim sive præteritum, sive præsens, sive instans, quod et adfuturum vocant. Ad præteritum tempus pertinent memoriæ et meminisse; omnes enim eorum meminerunt quæ præterita sunt : ad præsens vero disciplinæ et scientiæ et ratiocinationes et actiones quæ fiunt; ad futurum exspectatio, spes et omne quod simile est.

XL. Agendi appetitio in tria dividitur : una enim est quæ appetens est jucundi, altera quæ pulchri, tertia quæ utilis. Jucundi appetitio est servire cupiditatibus, pulchri gloriam persequitur et bonam famam; utilis quæ fit propter lucrum et utilitatem.

XLI. Appellatio eorum quæ sunt quinque fit modis. Eorum enim alia dicuntur velut unum relatum ad multa, alia velut multa ad multa, alia velut dissimilia ad simi-

πολλὰ καὶ πρὸς ἓν οἷον πλείω τάδε τῶνδε καὶ μείζω τάδε τῶνδε καὶ καλλίους οἵδε τῶνδε καὶ τὰ ἄλλα τὰ τοιαῦτα· τὰ δὲ ὡς ἀνόμοια ὡς πρὸς ὅμοια [..., τὰ δὲ ὡς ὅμοια πρὸς ὅμοια] οἷον ἀδελφοὶ πρὸς ἀδελφοὺς καὶ φίλοι πρὸς φίλους καὶ τὰ τοιαῦτα· τὰ δὲ ὡς ἓν πρὸς ἓν οἷον καλλίων ὅδε τοῦδε καὶ θάσσων ὅδε τοῦδε καὶ τὰ τοιαῦτα.

XLII. Cod. Marc. 25 : Διαιρεῖται τὰ ὄντα εἰς τρία· ἔστι γὰρ αὐτῶν τὰ μὲν κατ' οὐσίαν, τὰ δὲ κατὰ συμβεβηκός, τὰ δὲ κατὰ πάθος. Ἔστι δὲ τὰ μὲν κατ' οὐσίαν οἷον τὸ εἶναι ἄνθρωπον καὶ τὸ ἕκαστον τῶν ὄντων εἶναι· τὸ δὲ κατὰ συμβεβηκὸς τὸ τρέχειν καὶ καθεύδειν καὶ ἄλλα τοιαῦτα· τὸ δὲ κατὰ πάθος οἷον τὸ ἥδεσθαι καὶ λυπεῖσθαι καὶ θαρρεῖν καὶ φοβεῖσθαι καὶ τὰ τοιαῦτα.

XLIII. Cod. Marc. 27 : Διαίρεσις τῶν βελτιόνων καὶ τῶν χειρόνων καὶ τῶν καλλιόνων καὶ αἰσχιόνων καὶ λευκοτέρων καὶ μελανωτέρων· τούτων ἕκαστον λέγεται τριχῶς· ἢ γὰρ τοῦ ἐναντίου ἢ ἑαυτοῦ ἢ μέσου, οἷον ἐναντίον βέλτιον εἶναι λέγεται τὸ ἀγαθὸν τοῦ κακοῦ ὡς τῆς πανουργίας καὶ τῆς ἀφροσύνης ἡ φρόνησις, τοῦ δὲ μέσου λέγεται βέλτιον εἶναι τὸ ἀγαθὸν οἷον τοῦ μήτε ἀγαθοῦ μήτε κακοῦ, αὐτὸ δὲ ἑαυτοῦ λέγεται βέλτιον καθὸ ἀγαθὸν ἀγαθοῦ ἐὰν ἧττον [ᾖ] τὸ ἕτερον. Ὁμοίως δὲ καὶ τὸ καλόν· λέγεται γὰρ καὶ τοῦ αἰσχροῦ κάλλιον καὶ τοῦ μήτε αἰσχροῦ μήτε καλοῦ κάλλιον εἶναι, λέγεται δὲ καὶ τοῦ καλοῦ ἧττον δὲ καλοῦ κάλλιον εἶναι. Ὁμοίως δὲ καὶ τὸ λευκότερον λέγεται· τὸ γὰρ λευκὸν καὶ τοῦ μέλανος λέγεται εἶναι λευκότερον καὶ τοῦ μήτε μέλανος μήτε ὄντος λευκοῦ ὅπερ ἐστὶ μέσον. Καὶ ἐπὶ τῶν ἄλλων δὲ τῶν οὕτως λεγομένων τὸν αὐτὸν τρόπον ἔχειν φατέ. Κατὰ τρεῖς ἄρα τρόπους λέγεται βελτίω καὶ χείρω καὶ καλλίω καὶ αἰσχίω καὶ λευκότερον καὶ μελανώτερον.

XLIV. Cod. Marc. 28 : Διαρεῖται τὰ ἐξ ὧν πόλις οἰκεῖται εἰς τρία· ἔστι γὰρ αὐτῶν ἓν μὲν ἐκ τοῦ μαχίμου μέρους τῶν ἀνθρώπων, ἓν δὲ ἐκ τοῦ βουλεύεσθαι δυναμένου, ἓν δὲ ἐκ τοῦ ἐργάζεσθαι. Τὸ μὲν οὖν μάχιμον μέρος τὸ ἄλκιμόν ἐστι, τὸ δὲ βουλεύεσθαι δυνάμενον τὸ τῶν πρεσβυτέρων, τὸ δὲ ἐργάζεσθαι τὸ τῶν τεχνιτῶν καὶ γεωργῶν καὶ τῶν ἄλλων τῶν τοιούτων. Τούτων δὲ ὅτι ἂν ἀπῇ οὐ ῥᾳδίως ἡ πόλις οἰκεῖται.

XLV. Cod. Marc. 29 : Διαιρεῖται ἡ γένεσις εἰς τέσσαρα· ἔστι δὲ αὐτῆς ἓν μὲν ἐξ οὐκ ὄντος εἰς οὐσίαν μεταβάλλειν, οἷον τὸν οὐκ ὄντα υἱὸν γενέσθαι καὶ ἀνδριάντα τὸν οὐκ ὄντα γενέσθαι καὶ πάντα τὰ τοιαῦτα· ἓν δὲ ἐκ τόπου εἰς τόπον μεταβάλλειν καὶ τεθῆναι ἐν ἄλλῳ, οἷον οἱ πλέοντες καὶ πορευόμενοι καὶ πᾶν τὸ τοιοῦτον· ἓν δὲ ἕξεως καὶ διαθέσεως μεταβολή, οἷον τὸ ἐξ ἀπαιδεύτου πεπαιδευμένον γενέσθαι καὶ ἐκ νέου πρεσβύτην καὶ ἐξ ἐχθροῦ φίλον· ἓν δὲ πραγμάτων μεταβολή, οἷον ἐκ πλουσίου πλάνητα [corr. πένητα] καὶ ἐξ ἰδιώτου ἄρχοντα καὶ ἐξ ἄρχοντος ἰδιώτην γενέσθαι καὶ ἄλλα τοιαῦτα.

XLVI. Cod. Marc. 30 : Διαιρεῖται τὸ ἀληθὲς εἰς

---

lia, alia velut similia ad similia, alia velut unum ad unum. Dicuntur velut unum ad multa relatum, velocissimus, maximus, pulcherrimus et talia; velut multa ad multa et ad unum, hæc plura sunt his, hæc majora sunt his, hæc pulchriora sunt his, et alia talia; velut dissimilia ad similia [..., velut similia ad similia] ut fratres ad fratres, amici ad amicos et talia; velut unum ad unum, hic pulchrior quam ille, velocior quam ille et alia id genus.

XLII. Quæ sunt in tria dividuntur : quædam enim eorum sunt natura, quædam casu, quædam vero affectu. Quæ sunt natura hæc sunt esse hominem, et eorum quæ sunt quodcunque esse; quæ casu, currere, vel dormire vel alia similia; quæ affectu, gaudere et dolere et bono animo esse et metuere et alia similia.

XLIII. Divisio eorum quæ sunt meliora, pejora, pulchriora, fœdiora, candidiora, nigriora : eorum quodcunque triplici modo dicitur; sive enim respicitur ad contrarium, sive ad ipsum sive ad medium. Ita quum bonum melius esse dicitur malo cum contrario confertur, et ita prudentia; melior est quam malitia et imprudentia medio bonum præstare dicitur quum neque bonum neque malum sit; ipsum vero ipso melius esse dicitur ut bonum bono si alterum inferius est. Similiter et pulchrum : dicitur enim pulchrius esse deformi et pulchrius eo quod neque deforme neque pulchrum est, dicitur et pulchrius esse quam pulchrum sed quod minus est pulchrum. Eodem modo et candidius dicitur : candidum enim dicitur candidius esse nigro et eo quod neque nigrum neque candidum, medium vero est. Et eodem modo rem se habere in aliis quæ sic dicta sunt dicite. Tribus igitur modis dicitur melius et pejus, pulchrius et turpius, candidius et nigrius.

XLIV. Civitatis incolæ in tria dividuntur genera : alii ex illa portione sunt hominum qui arma ferre valent, alii ex illa qui deliberare possunt, alii ex illa qui operariam facere. Militaris pars ex illis constat qui robusti sunt; quæ ad deliberandum apta est, e senioribus; quæ vero operariam exercet, e fabris et agricolis et aliis hujusce generis. Quod si earum partium aliqua absit, non facile incolitur civitas.

XLV. Generatio in quattuor dividitur. Primum est genus quum aliquid quod non erat esse cœpit, velut filium qui antea non erat nasci, statuam quæ nulla erat fieri et omnia hujusce generis. Secundum fit loci mutatione et translocatione in alium locum ut navigantes et ingredientes et quodcunque his simile est. Tertium est mutatio habitus et dispositionis velut ex inerudito eruditum fieri, ex juvene senem, ex hoste amicum. Quartum rerum mutatio, ut ex divite mendicum, e privato magistratum, e magistratu privatum fieri et alia id genus.

XLVI. Verum in tria dividitur : unum est ipsam rem veram esse, aliud sermonem, aliud utrumque. Res ipsa

τρία· ἔστι γὰρ αὐτοῦ ἓν μὲν τὸ πρᾶγμα ἀληθὲς εἶναι, ἓν δὲ τὸν λόγον, ἓν δὲ τὸ συναμφότερον. Ἔστι δὲ τὸ πρᾶγμα ἀληθὲς ὅταν ᾖ οὕτως ἔχον καὶ οὐκ ἄλλως, οἷον τὸ τὸν θεὸν ἀθάνατον εἶναι· οὕτως γὰρ ἔχει τὸ πρᾶγμα καὶ οὐκ ἄλλως. Τὸ δὲ λέγειν, Οὗτός ἐστιν ἀληθὴς λόγος, τοῦ ἀληθοῦς ἐστίν· ἔστι γὰρ ὁ λόγος πρᾶγμα ὑπὸ τὸν λόγον τοῦτον ὄν. Τὸ δὲ λέγειν ὅτι οἱ ἄνθρωποι ἔμψυχοί εἰσι, καὶ ὁ λόγος ἀληθής ἐστι καὶ τὸ πρᾶγμα.

XLVII. Cod. Marc. 31 : Διαιρεῖται τὸ ψεῦδος εἰς τρία· ἔστι γὰρ αὐτοῦ ἓν μὲν τὸ τὸ πρᾶγμα εἶναι ψεῦδος, ἓν δὲ τὸν λόγον, ἓν δὲ τὸ συναμφότερον. Τὸ μὲν οὖν πρᾶγμά ἐστι ψεῦδος ὅταν μὴ οὕτως ἔχῃ ὡς λέγεται ἀλλ' ἄλλως, οἷον ὁ καθήμενος ᾖ ἑστηκὼς ἢ ὁ λευκὸς [μέλας]. Ὁ δὲ λόγος ἔσται ψευδὴς ὅταν τις λέγῃ τὸν ἀληθῆ λόγον εἶναι ψευδῆ, οἷον ὁ λέγων τὸν περὶ τοῦ θεοῦ λόγον, οἷον ὁ λέγων [delenda tria voc.] ὅτι ἔστι θεός, καὶ τοῦτον ὁ φάσκων ψευδῆ εἶναι, Ὁ λόγος οὗτός ἐστι ψευδής· οὐ γάρ ἐστιν ὑπὸ τὸν λόγον τοῦτον πρᾶγμα οὐδὲν ἀλλὰ ὁ λόγος. Ὁ δὲ λέγων τὴν ἡμέραν νύκτα εἶναι καὶ τὸ πρᾶγμα ψεῦδος ἐρεῖ καὶ τὸν λόγον.

XLVIII. Cod. Marc. 32 : Διαιρεῖται ἡ τιμὴ εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν εἰς ἀργυρίου λόγον, ἓν δὲ εἰς ἐπαίνου λόγον, ἓν δὲ εἰς θεραπείας τινὸς καὶ ἐπιμελείας λόγον. Τὸ μὲν οὖν εἰς ἀργυρίου λόγον ἐστὶν ἀξία ἐν πράσει καὶ ὠνήσει, οἷον ἀξία τῆς τιμῆς φαμὲν εἶναι· τὸ δὲ εἰς ἐπαίνου λόγον εἶναι, οἷον αἱ ἐν ταῖς πόλεσι τιμαὶ δι' ἐνίας πράξεις γινόμεναι καὶ δωρεαὶ διδόμεναι· τὸ δὲ εἰς θεραπείας λόγον καὶ ἐπιμελείας, οἷον τὸν θεὸν τιμῶμεν θεραπείᾳ τινὶ καὶ ἐπιμελείᾳ τινός, καὶ τοὺς γονεῖς δὲ τιμῶμεν, ὁμοίως δὲ καὶ τὰ ἄλλα τὰ διὰ θεραπείαν γινόμενα.

XLIX. Cod. Marc. 34 : Διαιρεῖται τῶν ἐπιστημῶν ἡ κρίσις εἰς τρία· ἔστι γὰρ αὐτῶν ἓν μὲν ἂν ᾖ βελτιόνων ἢ καλλιόνων, ἓν δὲ ἂν ᾖ συμφερόντων μᾶλλον καὶ κατεπειγόντων, ἓν δὲ ἂν ᾖ τῶν ἀκριβεστέρων μᾶλλον δὲ καὶ εἰς ἀπόδειξιν συντεινόντων. Ἔστι δὲ τὸ μὲν βελτιόνων καὶ καλλιόνων οἷον ἡ ἀνδριαντοποιητικὴ τέχνη καὶ ἡ ἀγαλματοποιητικὴ καὶ ἡ πορφυροβαφικὴ καὶ αἱ τοιαῦται· συμφερόντων δὲ καὶ μᾶλλον κατεπειγόντων οἷον ἡ σκευοποιητικὴ καὶ οἰκοδομικὴ καὶ αἱ τοιαῦται· ἀκριβεστέρων δὲ καὶ μᾶλλον εἰς ἀπόδειξιν συντεινόντων αἵ τε μαθηματικαὶ καὶ ἡ φιλοσοφία.

L. Cod. Marc. 35 : Διαιρεῖται ὁ στρατηγὸς εἰς τρία· ἔστι γὰρ ἢ τῷ νόμῳ στρατηγὸς ἢ κατὰ δύναμίν τινα καὶ πραγμάτων κυρείαν στρατηγὸς ἢ κατὰ ἐπιστήμην. Ἔστι δὲ ὁ μὲν κατὰ νόμον στρατηγὸς οἷον οἱ ἐν ταῖς πόλεσιν αἱρούμενοι, ὁ δὲ κατὰ ἐπιστήμην ὁ ἔχων τὴν στρατηγικὴν ἐπιστήμην, ὁ δὲ κατὰ δύναμίν τινα καὶ πραγμάτων κυρείαν οἷον ὁ ὑπό τινος ἐπισταθεὶς ἢ αὐτὸς ὑφ' ἑαυτοῦ κύριος χρημάτων καὶ στρατιωτῶν γενόμενος.

LI. Cod. Marc. 37 : Διαιροῦνται αἱ μέθοδοι αἱ εἰς τὰ προβλήματα εἰς τρία· εἰσὶ γὰρ αὐτῶν αἱ μὲν κριτικαί, αἱ δὲ θεωρητικαί, αἱ δὲ ἐριστικαί. Καὶ κριτικαὶ μέν εἰσιν αἷς τὸ βέλτιον καὶ τὸ χεῖρον διακρίνομεν, οἷον πότερον βέλτιον δικαιοσύνη ἢ ἀνδρεία· θεωρητικαὶ δὲ αἷς θεωροῦμεν τὸ τοιοῦτον, οἷον πότερον ταὐτὸν νόσος ἐστὶν ὑγείᾳ καὶ εὐεξίᾳ ἢ οὔ· ἐριστικαὶ δὲ αἷς τοὺς ὅρους ἀναιροῦμεν, οἷον οὐχ ἔστιν εὐεξία σωμάτων ἡ κρατίστη.

LII. Cod. Marc. 38 : Διαιρεῖται ἡ λύπη εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν οἷς προσήκει τὸν φρόνιμον λυπεῖσθαι, ἓν δὲ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς καὶ κακοῖς

---

vera est quum ita se habet et non aliter, velut deum esse immortalem : ita enim res se habet et non aliter. Dicere autem hoc quod dico verum est, pars est veri; sermo enim res est quæ isti sermoni subest. Quum autem dicitur homines animatos esse, cum sermo verus est tum res.

XLVII. Falsum in tria dividitur : unum enim est rem falsam esse, unum sermonem, unum utrumque. Res falsa est quum non sic se habet ut narratur, velut si sedens stat sive albus niger est. Sermo falsus est quum aliquis dicit verum sermonem falsum esse, ut qui de deo dicit [ut qui dicit deum esse], eum esse, quem si quis dicat sermonem falsum esse, sermo falsus est : nulla enim illi sermoni subest res sed sermo. Qui vero dicit diem noctem esse et rem et sermonem falsum dicet.

XLVIII. Τιμὴ (græce *pretium* et *honor*) in tria dividitur : aliud est genus secundum pecuniam, aliud secundum laudem, aliud secundum observantiam quandam et studium. Secundum pecuniam τιμὴ (pretium) est æstimatio in vendendo et emendo, velut dicimus aliquid pretio dignum esse; secundum laudem, honores qui in civitatibus quibusdam factis parantur èt dona quæ dantur; secundum observantiam et studium deum honoramus observantia quadam et studio, et parentes honoramus et cetera quæ per observantiam fiunt.

XLIX. Disciplinarum divisio in tria fit genera : earum enim aliæ versantur in iis quæ sive pulchriora sive meliora sunt, aliæ in utilioribus et magis urgentibus, aliæ vero in subtilioribus et quæ magis ad demonstrationem valent. In melioribus et pulchrioribus versantur ars statuaria et purpuraria et tales ; in utilioribus et magis urgentibus utensilium confectio, architectura et tales ; in subtilioribus et magis ad demonstrationem tendentibus, mathematicæ artes et philosophia.

L. Dux in tres dividitur species : est enim sive lege dux, sive propter potentiam aliquam et rerum dominationem, sive propter scientiam. Dux est lege ut qui in urbibus eliguntur; propter scientiam qui imperatoriam artem possidet; propter potentiam aliquam et rerum dominationem qui ab aliquo constitutus est vel per semet ipsum dominus opum et militum factus est,

LI. Methodi ad problemata trium sunt generum : sunt enim sive criticæ, sive theoreticæ, sive disputatoriæ.

καὶ τοῖς ἄλλοις τοῖς μηδὲν προσήκουσι λυπεῖσθαι. Ἔστι δὲ τὸ μὲν ἐφ' οἷς προσήκει τὸν φρόνιμον λυπεῖσθαι, οἷον ἐπὶ τοῖς ἑαυτοῦ ἀτυχήμασιν ἢ τῶν αὐτοῦ τινὸς οἰκείων ἢ φίλων ἢ τῆς συμπάσης πόλεως καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων· τὸ δὲ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς λυπεῖσθαι ἐστὶ φθόνος τις καὶ βασκανία καὶ πᾶν τὸ τοιοῦτον· τὸ δὲ ἐπὶ πᾶσι κακοῖς καὶ ἀγαθοῖς [excidisse videtur τοῖς ἀλλοτρίοις] καὶ πᾶσι τοῖς ἄλλοις τοῖς μηδὲν προσήκουσι λυπεῖσθαι, τὸ μὲν ἐπὶ τοῖς κακοῖς τοῖς ἀλλοτρίοις ἔλεος, τὸ δὲ ἐπὶ τοῖς ἀγαθοῖς φθόνος, τὸ δὲ ἐπὶ τοῖς μηδὲν προσήκουσι φθόνος καὶ βασκανία.

LIII. Cod. Marc. 39 : Διαιρεῖται ἡ ἡδονὴ εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν περὶ τὸ λογικόν, ἓν δὲ περὶ τὸ θυμικόν, ἓν δὲ περὶ τὸ ἐπιθυμητικόν, ἓν δὲ περὶ τὰς αἰσθήσεις. Ἔστι δὲ ἡ τὸ μανθάνειν περὶ τὸ λογιστικὸν [fort. ἡ περὶ τὸ λογ. τὸ μανθάνειν] ἢ ἀπὸ τοῦ μανθάνειν καὶ ἀνευρίσκειν ἡδονὴ καὶ τὰ τοιαῦτα· περὶ δὲ τὸ θυμικὸν οἷον ἥ τε τοῦ κρατεῖν καὶ νικᾶν καὶ ἀντιτιμωρεῖσθαι καὶ αἱ τοιαῦται· αἱ δὲ περὶ τὸ ἐπιθυμητικὸν αἵ τε ἀπὸ τῆς τροφῆς καὶ συνουσίας καὶ αἱ τοιαῦται ἡδοναὶ γινόμεναι· ἡ δὲ περὶ τὸ αἰσθητικὸν περὶ τὰς αἰσθήσεις, οἷον ἥ τε διὰ τοῦ ὁρᾶν καὶ γεύεσθαι καὶ ὀσφραίνεσθαι καὶ αἱ τοιαῦται.

LIV. Cod. Marc. 40 : Διαιρεῖται ἡ εὐταξία εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν περὶ ψυχήν, ἓν δὲ περὶ σῶμα, ἓν δὲ περὶ πλῆθος, ἓν δὲ περὶ κινήσεις. Ἡ μὲν οὖν ἐν τῇ ψυχῇ εὐταξία ἐγγινομένη κοσμιότης καλεῖται, ἡ δὲ ἐν τῷ σώματι εὐταξία κάλλος καλεῖται, ἡ δὲ ἐν κινήσει εὐταξία εὐρυθμία ὀνομάζεται, ἡ δὲ ἐν τῷ πλήθει οἷον ἡ πρὸς ἄρχοντας εὐταξία πειθαρχία προσαγορεύεται.

LV. Cod. Marc. 41 : Διαιρεῖται ἡ ἀταξία εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν ψυχῇ, ἓν δὲ ἐν σώματι, ἓν δὲ ἐν πλήθει, ἓν δὲ ἐν κινήσει. Ἡ μὲν οὖν ἐν τῇ ψυχῇ ἀταξία ἐγγινομένη ἀσωτία ἢ ἀκολασία καλεῖται, ἡ δὲ ἐν τῷ σώματι ἀταξία αἰσχρότης καλεῖται, ἡ δὲ ἐν τῷ πλήθει ἀταξία ἀπειθαρχία καλεῖται, ἡ δὲ ἐν κινήσει ἀρρυθμία προσαγορεύεται.

LVI. Cod. Marc. 42 : Διαιρεῖται τὰ ἐν φιλοσοφίᾳ προβλήματα εἰς πέντε· ἔστι γὰρ αὐτῶν ἓν μὲν πολιτικόν, ἓν δὲ διαλεκτικόν, ἓν δὲ φυσικόν, ἓν δὲ ἠθικόν, ἓν δὲ ῥητορικόν. Πολιτικὸν μὲν οὖν ἐστι τὸ ὑπὲρ νόμων καὶ τινῶν τιμωριῶν προβαλλόμενον, οἷον πότερον δεῖ κολάζειν τὰ ξενικὰ ἁμαρτήματα [ὁμοίως inser. videtur] ἢ τὰ πολιτικὰ ἢ ἀνόμοια [-ίως?] ἢ τἄλλα τὰ τοιαῦτα· διαλεκτικὸν δὲ οἷον πότερον τῶν ἐναντίων αὐτὴ ἡ [corr. ἡ αὐτὴ] ἐπιστήμη ἢ ἑτέρα, καὶ τἄλλα τὰ τοιαῦτα· φυσικὸν δὲ οἷον πότερον εἷς κόσμος ἐστὶν ἢ πλείους, καὶ τἄλλα τὰ τοιαῦτα· ἠθικὸν δὲ οἷον πότερον δεῖ πάντα χαρίζεσθαι τοῖς φίλοις ἢ τὰ μὲν τὰ δὲ οὔ, καὶ τἄλλα τὰ τοιαῦτα· ῥητορικὸν δὲ οἷον ἐάν τις ὑπὲρ ποιητῶν κατηγορῇ ἢ ἀπολογῆται, οἷον διὰ τί τὸν Ὀδυσσέα οἱ ἑταῖροι φρονιμώτατον ὄντα ἐξέθηκαν εἰς τὴν νῆσον καθεύδοντα, καὶ τὰ τοιαῦτα.

---

Criticæ illæ sunt quibus melius et pejus dijudicamus, velut utrum melior sit justitia an fortitudo; theoreticæ quibus quale sit spectamus, velut an idem sit morbus quam sanitas et bona valetudo necne; disputatoriæ vero quibus definitiones tollimus, velut non est optima bona valetudo.

LII. Doloris tria sunt genera : unum enim in illis est quibus decet sapientem dolere, secundum in alienis bonis et malis et in aliis quibus non decet dolere. Ea quibus sapientem dolere decet hæc sunt : propriæ calamitates sive familiarium et amicorum et totius civitatis et alia id genus. Alienis bonis dolere invidia quædam est et malignitas quædam et tale quid. Dolere vero propter omnia mala et bona aliena et propter omnia alia propter quæ dolere non decet, si de alienis malis agitur commiseratio est, si de bonis invidia, si de aliis quæ nihil ad nos faciunt invidia et malignitas.

LIII. Voluptas in quattuor dividitur : una enim in parte est animæ quæ rationis est particeps, altera in ea quæ iræ, tertia in ea quæ cupiditatis, quarta vero in sensibus. Voluptas quæ in discendo est vel quæ a discendo et inveniendo et similibus percipitur ea parte animæ percipitur quæ rationis est particeps. Ad partem animæ iræ participem voluptas quæ ex superando, vincendo, ulciscendo talibusque percipitur spectat. Voluptates quæ in cibo, in coitu et talibus sitæ sunt pertinent ad partem animæ quæ est cupiditatum particeps ; quas vero sensibus accepimus velut videndo, gustando, olfaciendo, ea in partem animæ cadunt quæ sentiendi facultate prædita est.

LIV. Ordinis conservatio quadrifariam dividitur. Una enim est in anima, secunda in corpore, tertia in multitudine, quarta in motibus. Ordinis conservatio in anima vocatur modestia, in corpore pulchritudo, in motu concentus vocatur : ordinis vero conservatio in multitudine, qualis est erga ducem obedientia, obtemperatio nominatur.

LV. Perturbatio ordinis quadruplex est : alia enim in anima, alia in corpore, alia in multitudine, alia in motu. Perturbatio ordinis in anima intemperantia et incontinentia vocatur; in corpore deformitas, in multitudine inobedientia, in motu inconcinnitas.

LVI. Problemata circum quæ philosophia versatur in quinque genera dividuntur : unum enim est politicum, alterum dialecticum, tertium physicum, quartum ethicum, quintum rhetoricum. Politicum illud est quod proponitur de legibus et pœnis quibusdam, velut utrum oporteat eodem modo punire peregrinorum delicta, quam civium an aliter, et alia id genus. Dialecticum genus velut utrum contrariorum eadem sit scientia an altera et alia talia. Physicum velut unus an plures sint mundi et alia similia. Ethicum utrum in omnibus oporteat indulgere amicis, an in aliis oporteat, in aliis vero non, et alia id genus. Rheto-ricum problema vero est, si quis sive incuset sive defendat poetam, velut cur Ulyssem, quamvis prudentissimus

**LVII.** Cod. Marc. 43 : Διαιρεῖται ἡ κόλασις εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἀναίρεσις, ἓν δὲ εἰς ἀργυρίου λόγον, ἓν δὲ εἰς προπηλακισμόν, ἓν δὲ εἰς κάκωσιν σώματος. Ἡ μὲν οὖν ἀναίρεσίς ἐστιν οἷον ἐπὶ τοῖς ἀνηκέστοις ἁμαρτήμασιν ὅπερ τιμωρία ὀνομάζεται· αἱ δὲ εἰς ἀργυρίου λόγον, οἷον αἱ ὑπὸ τῶν νόμων ζημίαι κολάζουσιν· αἱ δὲ εἰς προπηλακισμοῦ λόγον, οἷον αἱ ἀτιμίαι αἱ ἐν ταῖς πόλεσι γινόμεναι, οἷον ἄτιμον εἶναι ὃς ἂν ἀσπίδα ῥίψῃ ἢ παρακαταθήκην ἀποστερήσῃ, καὶ αἱ ἄλλαι αἱ τῶν νόμων ἀτιμίαι· αἱ δὲ εἰς κάκωσιν σώματος, οἷον οἱ μαστιγοῦντες καὶ οἱ λοιδοροῦντες καὶ οἱ τοιοῦτοι.

**LVIII.** Cod. Marc. 45 : Διαιρεῖται ἡ ἁμαρτία εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν μετὰ ἀδικίας, ἓν δὲ μετὰ ἀγνοίας, ἓν δὲ μετὰ ἀτυχίας. Τὸ μὲν οὖν μετὰ ἀδικίας ἁμαρτάνειν ἐστὶν οἷον τὸ εἰς θεὸν ἀσεβεῖν καὶ τοὺς φίλους κακῶς ποιεῖν καὶ τὰ ἐν ταῖς πόλεσιν ἀδικήματα· τὸ δὲ μετὰ ἀγνοίας ἁμαρτάνειν οἷον γραμματικῇ ἢ ἀριθμητικῇ καὶ ταῖς τοιαύταις ἐπιστήμαις· ταῦτα γὰρ οὐ μετὰ ἀδικίας γίνεται ἀλλὰ μετὰ ἀγνοίας· μετὰ ἀτυχίας δὲ ἁμαρτάνειν ἐστὶν οἷον οἱ τοῦ σκοποῦ ἀποτυγχάνοντες καὶ οἱ τῶν ὁδῶν καὶ οἱ ἀκούσια ἁμαρτάνοντες.

**LIX.** Cod. Marc. 46 : Διαιρεῖται ἡ ἀτυχία εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν ταῖς πράξεσιν, ἓν δὲ ἐν τοῖς καιροῖς, ἓν δὲ ἐν τοῖς συμπτώμασι τοῖς ἀπὸ ταὐτομάτου γινομένοις. Τὸ μὲν οὖν ἐν ταῖς πράξεσιν βλάπτεσθαι καὶ ζημιοῦσθαι ἐστί, τὸ δὲ ἐν τοῖς καιροῖς ἀτυχεῖν ὑστερεῖσθαι ἐστὶ καὶ προτερεῖν καὶ τοῦ διαμαρτάνειν καὶ τοῦ καιροῦ γινόμενον [καὶ τοῦ διαμ.... γινομένου corrig. videtur], τὸ δὲ ἐν τοῖς συμπτώμασι τοῖς ἀπὸ ταὐτομάτου γινομένοις οἷον αἱ πληγαὶ αἱ ἐξαίφνης καὶ αἱ βλάβαι αἱ ἐξ ἀπροσδοκήτου προσπίπτουσαι.

**LX.** Cod. Marc. 47 : Διαιρεῖται τὰ ἴδια καὶ τὰ κοινῶς ἀγαθὰ εἰς πέντε· ἔστι γὰρ αὐτῶν τὰ μὲν ἴδια θεοῦ, τὰ δὲ ἴδια ἀνθρώπων, τὰ δὲ κοινὰ θεοῦ καὶ ἀνθρώπων, τὰ δὲ κοινὰ ἀνθρώπου καὶ τῶν ἄλλων ζῴων πλὴν θεοῦ, τὰ δὲ πάντων κοινά. Ἴδια μὲν οὖν ἐστὶ θεοῦ τὸ ἀΐδιον εἶναι καὶ τὰ τοιαῦτα, ἴδια δὲ ἀνθρώπου τὸ σύμφρονα [fort. σώφρονα] καὶ δίκαιον εἶναι καὶ τὰ τοιαῦτα, κοινὰ θεοῦ καὶ ἀνθρώπων τὸ σπουδαῖον εἶναι· καὶ γὰρ τῷ θεῷ ὑπάρχει καὶ τῷ ἀνθρώπῳ σπουδαίῳ εἶναι, ἴδιον δὲ ἀνθρώπου ἡ ἐγκράτεια κακοῦ τινὸς οὖσα ἀποτρεπτική, τῷ θεῷ δὲ οὔτε γενέσθαι οὔτε ὑπάρχειν κακὸν καλῶς ἔχει λέγειν, καὶ τἄλλα τὰ τοιαῦτα. Κοινὸν δὲ ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων πλὴν θεοῦ ἀνδρεία· αὕτη γὰρ κινδύνου τινὸς καὶ φόβου ἀντιστατική ἐστι καὶ πάντα τὰ τοιαῦτα· πάντων δὲ κοινὸν τὸ καλόν.

**LXI.** Cod. Marc. 48 : Ἕκαστον τῶν ὄντων ἀποτελεῖται διὰ τέσσαρας αἰτίας· ἢ γὰρ διὰ τὸ περὶ χρηστὴν [corr. videtur καὶ περὶ χρηστὸν] ὑπάρχειν ἀπροσδόκητον τύχην ἢ δι' ἐπιστήμην ἢ διὰ φύσιν ἢ διὰ βίαν καὶ ἀνάγκην. Τὰ μὲν διὰ τύχην ἐστὶ τὰ ἀπὸ ταὐτομάτου καὶ ἀπὸ [ἄνευ?] προνοίας ἀποτελούμενα,

---

fuerit, exposuerint in insulam socii dormientem, et talia.

**LVII.** Castigationis quattuor sunt genera : unum enim est pœna capitis, alterum pecuniaria, tertium ignominia, quartum damnum corporis. Capitis pœna est quæ ab illis sumitur qui maxima facinora commiserunt, quod appellatur supplicium. Pecuniaria pœna est mulcta legibus irrogata. Existimationis vero, ignominiæ quibus cives efficiuntur, velut infamem esse qui scutum abjecerit, vel qui depositum defraudaverit ceteræque infamiæ legibus impositæ. Pœna quæ damno fit corporis, ab iis imponitur qui verberant sive conviciis afficiunt et similibus.

**LVIII.** Peccatum in tria dividitur genera. Est enim unum quod fit injustitia, aliud ignorantia, aliud propter infortunium. Cum injustitia conjunctum peccatum est impium in deum esse, male agere cum amicis et injustum esse in rempublicam. Ignorantia peccatur in grammaticam, arithmeticam similesque disciplinas : hæc peccata enim non fiunt injustitia, sed ignorantia. Ut cum infortunio erremus tunc accidit quum finem non attingimus, vel a via aberramus, vel inviti peccamus.

**LIX.** Mala fortuna in tria dividitur. Una enim est in actionibus, altera in tempore, tertia in accidentibus quæ sponte sua eveniunt. Mala fortuna in actionibus utuntur qui damno et detrimento afficiuntur; in tempore, qui vel sero, vel prius veniunt, vel opportunitatem nacti ea frustrantur; accidentia vero quæ sponte sua eveniunt, appellantur subitæ calamitates et noxiæ quæ ex improviso incidunt.

**LX.** Propria et communiter bona in quinque dividuntur species. Eorum enim nonnulla propria sunt Deo, alia hominibus, alia communia Deo et hominibus, alia propria hominibus et ceteris animalibus præter Deum, alia vero omnibus communia. Proprium igitur est Deo immortalem esse et similia; proprium hominibus concordes esse et justos; proprium Deo et hominibus bonos esse : etenim et Deo et hominibus proprium est bonis esse, proprium vero homini continentia quæ malum avertat, Deum vero malum esse vel fieri posse ne dicere quidem licet : et alia id genus. Communis vero hominibus et ceteris animalibus præter Deum, fortitudo : ea enim facit ut periculo vel terrori alicui resistamus; omnibus vero commune pulchrum est.

**LXI.** Eorum quæ sunt quodcunque quattuor causis perficitur : sive casu qui etiam in bonum obtinet, sive scientia, sive natura sive vi et necessitate. Quod casu perficitur id est quod sua sponte et providentia fit : quæ scientia, domus et naves et omnia talia; quæ natura, homines, arbores et omnia animalia; quæ vi et necessitate,

τὰ δὲ δι' ἐπιστήμην αἵ τε οἰκίαι καὶ αἱ νῆες καὶ πάντα τὰ τοιαῦτα, τὰ δὲ διὰ φύσιν οἷον οἱ ἄνθρωποι καὶ τὰ δένδρα καὶ τὰ ζῷα πάντα, διὰ δὲ βίαν καὶ ἀνάγκην οἷον αἱ τῶν ἀλόγων ζώων δαμάσεις καὶ αἱ κρατήσεις καὶ δεσποτεῖαι καὶ τυραννίδες καὶ τὰ τοιαῦτα.

LXII. Cod. Marc. 49 : Διαιρεῖται τὸ ψευδολογεῖν εἰς τέσσαρα· ἔστι γὰρ αὐτοῦ ἓν μὲν ἐν [del.] ἀλαζονείᾳ [-νείᾳ], ἓν δὲ εἰρωνείᾳ, ἓν δὲ κερτόμησις, ἓν δὲ ψευδολογία τις μετὰ βλάβης. Ὁ μὲν οὖν ἀλαζονευόμενος ἐπὶ πλεῖον καὶ μεῖζον ψεύδεται· προσποιητὸς γάρ ἐστιν, ὃ οὐκ οἶδεν εἰδέναι θέλων καὶ ἅπερ οὐκ ἔχει ἔχειν. Ὁ δὲ εἰρωνευόμενος ἐπὶ τὸ ἔλαττον ψεύδεται· ὅ τε γὰρ πλούσιος πένης φησὶν εἶναι ἐὰν εἰρωνεύηται, καὶ ὁ σοφὸς οὐκ εἶναι σοφός. Ὁ δὲ ἐν τῷ κερτομεῖν ψευδολογῶν μετὰ τοῦ σκώπτειν οἷον τὸ ἡττᾶσθαι κρατεῖν ἢ καλὸν τὸ κακὸν λέγων καὶ σοφὸν τὸ ἀπαίδευτον, ὁ δὲ μετὰ βλάβης οἷον ὁ τὰ ψευδῆ μαρτυρῶν καὶ ἀπαρνούμενος καὶ τἄλλα τὰ τοιαῦτα.

LXIII. Cod. Marc. 50 : Διαιρεῖται ὁ ψευδόμενος εἰς δύο· ὁ μὲν γὰρ ἑκὼν ψεύδεται, ὁ δὲ ἄκων. Ὁ μὲν οὖν ἑκὼν ψευδόμενος ἐξαπατᾷ τινὰς καὶ ἄλλως ἀπάτην ἐμποιεῖ, ὁ δὲ ἄκων ψευδόμενος αὐτὸς ἐξηπατημένος ψεύδεται ἀπὸ τῆς ἐν αὐτῷ ἀπάτης οὔσης.

LXIV. Cod. Marc. 54 : Διαιρεῖται ὁ καθαρισμὸς καὶ ἡ κάθαρσις εἰς τρία· ἔστι γὰρ αὐτῶν ἓν μὲν νόμῳ, ἓν δὲ φύσει, ἓν δὲ τέχνῃ καὶ πράγματι. Νόμῳ μὲν οὖν ἐστὶ καθαρμὸς οἷον ὅ τε τοῦ ἀέρος ὅταν ἀποκαθαίρηται καὶ ὅταν τὰ ὕδατα ὦσι καθαρὰ καὶ τὰ βρώματα καὶ πάντα τὰ τοιαῦτα ... τέχνῃ δὲ καὶ πράγματι οἷον ἥ τε τῶν χαλκωμάτων καὶ τῶν ἱματίων πλύσις καὶ τὰ τοιαῦτα.

LXV. Cod. Marc. 57 : Τῶν κακῶν ὁμοιότης τῶν περὶ τὴν ψυχὴν καὶ τὸ σῶμα καὶ τῶν ἐκτός ἐστιν αὕτη. Ἐν τῇ ψυχῇ μέν ἐστιν ἀδικία κάκιστα τὴν ψυχὴν διατιθεῖσα, ἐν δὲ τῷ σώματι νόσος κάκιστα διατιθεῖσα τὸ σῶμα, ἐν δὲ τοῖς ἐκτὸς ἀτυχία κάκιστα διατιθεῖσα τὰς ἐκτὸς πράξεις·-καὶ ταύτῃ λαμβάνεται ἡ ὁμοιότης τῶν κακῶν τούτων. Καὶ πάλιν ἐν μὲν ψυχῇ ἀφροσύνη ἀρρωστία τίς ἐστι καὶ ἀλογιστία ψυχῆς, ἐν δὲ σώματι καχεξία ἀρρωστία ἐστίν, ἐν δὲ τοῖς ἐκτὸς ἀδοξία· προπηλακισμὸν γὰρ καὶ ἀρρωστίαν καὶ ὀλιγωρίαν περὶ τὰ ἄλλα τινὰ ἐμποιεῖ ταῖς ἐκτὸς πράξεσι· καὶ ταύτῃ πάλιν λαμβάνεται τῶν κακῶν τούτων ἡ ὁμοιότης. Καὶ πάλιν ἐν μὲν ψυχῇ δειλία οὖσα ἐκπληκτικὰς καὶ πάντων ἥττους τῶν φόβων παρασκευάζει τὰς ψυχάς, ἐν δὲ σώματι ἀσθένεια πάντων τῶν πόνων ἡττᾶσθαι τὰ σώματα παρασκευάζει, ἐν δὲ τοῖς ἐκτὸς ἐχθροὶ ὄντες ἀσθενῆ περὶ τὰς ἐκτὸς πράξεις καὶ εὐκαταφρόνητον ποιοῦσιν· ᾧ γὰρ πολλοί εἰσιν ἐχθροὶ οὐδὲν τούτῳ ῥᾳδίως ὑπάρχει. Καὶ ἔστιν ἡ μὲν δειλία ἐν φόβῳ εὐκαταφρονήτους ποιοῦσα, ἡ δὲ ἀσθένεια ἐν πόνοις εὐκαταφρόνητον τὸ σῶμα ποιεῖ, ἡ δὲ ἔχθρα ἐν πράξεσι ταῖς ἐν βίῳ. Καὶ ἡ μὲν ἀσωτία καὶ ἀκολασία αἰσχρὰν τὴν ψυχὴν καὶ ἄκοσμον παρασκευάζει, τὸ δὲ αἶσχος ἐν σώματι ὂν αἰσχρὸν τὸ σῶμα καὶ ἄκοσμον παρασκευάζει, ἡ δὲ πενία ἐκτὸς οὖσα αἰσχρὸν [τὸν?] βίον παρασκευάζει· καὶ ταύτῃ λαμβάνεται τῶν κακῶν τούτων ἡ ὁμοιότης.

LXVI. Cod. Marc. 59 : Διαιρεῖται ἡ ἀποβολὴ

---

brutorum animalium domitiones, subactiones, dominationes, tyrannise et talia.

LXII. Falsa dicendi quattuor sunt genera : unum enim est in jactantia, alterum in dissimulatione, tertium est irrisio, quartum mendacium damnum aliquod afferens. Qui se jactat mentitur plura et majora dicens : simulat enim ea scire se affirmans quæ nescit et ea habere quæ non habet. Qui dissimulat mentitur minuendo : dives enim dicit se pauperem esse quum dissimulat, sapiens se non esse sapientem. Qui mentitur irridens cavillatur quum superari vincere appellet, quod pulchrum est, malum, quod sapiens indoctum : qui damnose mentitur is est qui falsum testatur, qui denegat et alia talia facit.

LXIII. Duo sunt genera eorum qui falsa loquuntur : sive enim voluntate sive inviti faciunt. Qui sponte mentitur quosdam decipit et aliter fraudem facit; qui vero invitus quum ipse deceptus sit falsa loquitur ob errorem in quo ipse versatur.

LXIV. Purificatio et purgatio in tria dividuntur genera. Unum enim fit lege, alterum natura, tertium arte et re. Purificatio lege fit ut quum aer purificatur et quum aqua et cibi et omnia talia pura sunt..... arte et re ut æramentorum et vestium lotio et talia.

LXV. Malorum similitudo quæ ad animum et quæ ad corpus pertinent quæve extrinsecus sunt hæc est. In animo injustitia pessime animum afficit, in corpore morbus, in iis quæ extrinsecus sunt mala fortuna : et ita perspicitur horum malorum similitudo. Et rursus in animo insipientia imbecillitas quædam est et rationis defectus, in corpore vero malus habitus defectus est; in iis quæ extrinsecus sunt mala existimatio, quippe quæ ignominiam et infirmitatem et despectum circum alia quædam efficiat iis quæ extrinsecus fiunt. Et ita rursus percipitur horum malorum similitudo. Et rursus timiditas quæ est in animo mentes stupori obnoxias et omni pavori inferiores efficit : in corpore virium defectus corpora omnibus laboribus imparia reddit; in iis vero quæ sunt extrinsecus qui sunt inimici infirmos faciunt ad ea quæ extrinsecus agenda sunt et facile despiciendos : cui enim multi sunt inimici, nihil huic facile contingit. Et ignavia est quæ in periculo facile contemnendos faciat, virium defectus in laboribus corpus, inimicitiæ vero in vitæ actionibus. Prodigalitas et intemperantia animum turpem et incultum efficiunt; deformitas in corpore turpe et incultum corpus reddit; egestas quæ extrinsecus est vitam turpem efficit. Et ita percipitur horum malorum similitudo.

LXVI. Scientiæ amissio in tria dividitur : unum enim est si is cujus est scientia periit; alterum si oblivio gi-

τῆς ἐπιστήμης εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐὰν φθαρῇ οὗπερ ἐστὶν ἡ ἐπιστήμη, ἓν δὲ ἐὰν λήθη γένηται, ἓν δὲ ἐὰν ὁ ἔχων τὴν ἐπιστήμην φθαρῇ. Ἐὰν μὲν οὖν οὗ ἐστὶν ἡ ἐπιστήμη φθαρῇ οἷον Σωκράτους, οὐκ ἔτι ἐστὶν ἐπιστήμη· ἔφθαρται γάρ. Ἐὰν δὲ λήθη γένηται, καὶ οὕτως ἀποβάλλομεν τὴν ἐπιστήμην. Ἐὰν δὲ ὁ ἔχων τὴν ἐπιστήμην φθαρῇ ἄνθρωπος, ἀναγκαῖόν ἐστι συμφθείρεσθαι καὶ ἀποβάλλεσθαι αὐτήν.

**LXVII.** Cod. Marc. 64 : Σκεπτέον ἥτις ἐστὶ τῶν ζῴων πρὸς ἄλληλα διαφορά. Φαμὲν οὖν εἶναι τῶν ζῴων τὰ μὲν θνητά, τὰ δὲ ἀθάνατα. Θνητὰ μὲν οὖν εἰσὶ ὅσα πέφυκε φθείρεσθαι καὶ αἵματος κοινωνεῖν, οἷον ἄνθρωπος καὶ βοῦς καὶ τὰ τοιαῦτα τῶν ζῴων· ἀθάνατα δὲ οἷον ἄγγελοι. Τῶν δὲ θνητῶν ζῴων τὰ μὲν ἐστι πτηνά, τὰ δὲ ἔνυδρα, τὰ δὲ πεζά· πεζὰ μὲν οὖν εἰσὶν οἷον ἄνθρωπος, κύων, ἵππος καὶ τὰ τοιαῦτα καὶ ἁπλῶς οἷς ὁ βίος ἐπίγειός ἐστιν, ἔνυδρα οἵ τε ἰχθύες καὶ τὰ ὄστρεα καὶ ἁπλῶς οἷς ἡ διαγωγὴ ἐν ὑγρῷ ἐστί, πτηνὰ δὲ οἷον ὄρνιθες καὶ σφῆκες καὶ μέλισσαι καὶ ἄλλα ὅσα τοιαῦτα ἃ διὰ τῆς οἰκείας φύσεως ὀχοῦνται κατὰ τὸν ἀέρα. Πάντα δὲ τὰ τοιαῦτα καὶ κατὰ ψυχὴν καὶ κατὰ τὸ σῶμα δοκεῖ διαφέρειν ἀλλήλων. Ὅτι μὲν οὖν κοινῶς κατὰ πάντων τούτων κατηγορεῖται ζῷον εἶναι δῆλον, διαφορὰν δέ τινα ἔχει τούτων ἕκαστον καθάπερ εἴπομεν· τὸ μὲν γὰρ αὐτῶν πεζόν, τὸ δὲ ἔνυδρον, τὸ δὲ πτηνόν, τὸ δὲ ἀθάνατον· τὸ δὲ κοινὸν κατηγορούμενον ἐφ' ἁπάντων φαμὲν εἶναι τὸ γένος. Ἕκαστον δὲ τούτων ἐστὶ ζῷον, τὰ δὲ διαιρεθέντα τῶν ζῴων λεκτέον εἴδη εἶναι. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ σχήματος καὶ ἀριθμοῦ. Τοῦ τε γὰρ τριγώνου καὶ τῶν λοιπῶν κοινὸν φαμὲν εἶναι τὸ σχῆμα· τούτων γὰρ ἕκαστόν ἐστιν ὅπερ ὑπάρχει σχήματι (l. σχήματι)· δῆλον οὖν ὅτι τὸ μὲν σχῆμα γένος ἂν εἴη τούτων, ταῦτα δὲ τοῦ σχήματος εἴδη· τὸ γὰρ σχῆμα διαιρήσομεν εἰς τρίγωνον καὶ τετράγωνον καὶ τὰ λοιπά. Ὁμοίως δὲ καὶ τὸ περιττὸν καὶ τὸ ἄρτιον εἴδη τοῦ ἀριθμοῦ εἰσι· κοινῇ γὰρ αὐτῶν κατηγορεῖται ὁ ἀριθμός. Ἐπεὶ δὲ τὸ μὲν γένος δοκεῖ πρότερον εἶναι τοῦ εἴδους, τὸ δὲ πρότερον οὐχ ἁπλῶς λέγεται, εἴπωμεν περὶ αὐτοῦ.

**LXVIII.** Cod. Marc. 65 : Τὸ πρότερον λέγεται πενταχῶς· ἢ γὰρ φύσει ἢ χρόνῳ ἢ θέσει ἢ τάξει λεχθήσεται. Θέσει μὲν οὖν οἷον τὸ ἐπὶ τῶν κειμένων ψήφων εἰώθαμεν λέγειν, οἷον ὅτι πρότερον αὕτη ταύτης· τάξει δὲ οἷον ὁ ταξίαρχος τοῦ λόχου καὶ ὁ λοχαγὸς τοῦ ἰδιώτου καὶ τὸ α' τοῦ β'. Δυνάμει δὲ φαμὲν εἶναι πρότερον τὸν στρατηγὸν τοῦ στρατιώτου καὶ ἁπλῶς τὸν δυνάστην τοῦ ἰδιώτου· χρόνῳ δὲ οἷον πατὴρ υἱοῦ καὶ πᾶν τὸ πρεσβύτερον τοῦ νεωτέρου· φύσει δέ ἐστι πρότερον οἷον ἥ τε μονὰς τῆς δυάδος καὶ τὸ μέρος τοῦ ὅλου καὶ τὸ γένος τοῦ εἴδους, καὶ ἁπλῶς ὅσα αὐτὰ ἀλλήλοις μὴ συναναιρεῖται, τούτων τὸ μὲν οὖν ἀναιροῦν (l. συναναιροῦν) πρότερόν ἐστι, τὸ φύσει δὲ συναναιρούμενον ὕστερον· οἷον τῆς μονάδος ἀναιρεθείσης ἡ δυὰς ἀναιρεῖται καὶ πᾶς ἀριθμός, δυάδος δὲ ἀναιρεθείσης οὐδὲν κωλύει μονάδα εἶναι· πρότερον τοίνυν τῇ φύσει μονὰς δυάδος. Ὁμοίως δὲ καὶ τοῦ μέρους ἀναιρεθέντος τὸ ὅλον ἀναιρεῖται, τοῦ δὲ ὅλου μὴ ὄντος οὐδὲν κωλύει τὸ μέρος εἶναι. Φανερὸν δὲ ὅτι ὁσαχῶς τὸ πρότερον λέγεται, τοσαυταχῶς καὶ τὸ ὕστερον λεχθήσεται· τὸ γὰρ ὕστερον ἐροῦμεν ἢ φύσει ἢ χρόνῳ ἢ θέσει ἢ τάξει ἢ δυνάμει.

---

gnitur, tertium si is qui habet scientiam moritur. Si igitur is cujus est scientia moritur ut Socratis, non amplius erit scientia, periit enim. Sin autem oblivio gignitur, et sic quoque scientiam amittimus. Sin autem moritur is qui scientiam possidet, necesse est cum illo perire et amitti ipsam.

**LXVIII.** Quærendum quænam sit animalium inter se differentia. Dicimus igitur animalium quædam esse mortalia, quædam immortalia. Mortalia sunt quæ intereunt et sanguinem habent, ut homo, bos et similia animalia; immortalia vero angeli. Mortalium animalium quædam sunt volatilia, quædam aquatilia, quædam terrestria. Terrestria autem sunt homo, canis, equus et similia et omnino quæcunque vitam in terra degunt; aquatilia pisces et ostrea et omnino quæcunque in humido degunt; volatilia vero aves, vespæ, apes et alia similia, quæcunque propria natura per aerem feruntur. Hæc vero omnia et quod ad animam et quod ad corpus attinet inter se differre videntur. De his vero omnibus communiter prædicatur animalia esse, sed eorum quodque differentiam habet, ut diximus : aliud enim pedestre, aliud aquatile, aliud volatile, aliud immortale. Quod autem communiter de omnibus prædicatur, genus esse dicimus. Eorum quodcunque animal est : divisa autem animalia species vocari oportet. Quod et idem de forma et numero accidit. Trianguli enim et aliarum figurarum communem esse formam dicimus : eorum enim quodque forma est ita ut appareat formam eorum esse genus, illa vero formæ species. Formam enim dividemus in triangulum, quadrangulum et cetera. Similiter etiam par et impar genera sunt numerorum : communiter enim de illis prædicatur numerus. Quum vero genus prius videatur esse quam species, prius autem non uno tantum modo dicatur, de hoc jam loquamur.

**XLVIII.** Prius quinque dicitur modis : sive enim natura, sive tempore, sive facultate, sive positione, sive ordine dicetur. Positione de calculis solemus dicere, velut hunc priorem esse illo. Ordine velut taxiarchus prior est cohorte, lochagus gregario milite et *a* quam *b*. Facultate priorem esse dicimus ducem milite et prorsus eum qui dominationem exercet homine privato. Tempore prior est pater filio et omne quod ætate majus est juniore. Natura prius est monas dyade, pars toto, genus specie et prorsus omnia quæ non ipsa invicem simul auferuntur, quorum prius est id quod aufert, quod vero natura aufertur posterius, velut monade ablata, dyas aufertur et omnis numerus, dyade vero ablata nihil impedit quin monas sit. Prius igitur natura monas dyade. Similiter et ablata parte totum au-

**LXIX.** Cod. Marc. 66 : Ὁσαχῶς τὸ πρότερον καὶ τὸ ὕστερον λέγεται, τοσαυταχῶς καὶ περὶ τοῦ ἅμα λεχθήσεται, οἷον ἢ φύσει ἢ θέσει ἢ δυνάμει ἢ χρόνῳ ἢ τάξει. Θέσει μὲν οὖν εἰσὶ τὰ τοιαῦτα ἅμα ὅσα τῷ τόπῳ ἐξ ἴσου ἐστίν, οἷον τὰ τρέχοντα ἅμα φαμὲν εἶναι καὶ τὰ ἑστηκότα· τάξει δέ ἐστι τὰ τοιαῦτα ἅμα οἷον οἱ τοῖς ζυγοῖς στοιχοῦντες, δυνάμει δὲ ἅμα λέγομεν τὰ μηδὲν ἀλλήλων πλέον δυνάμενα, χρόνῳ δὲ τὰ τοιαῦτα φαμὲν εἶναι ἅμα τὰ κατὰ τὸν αὐτὸν χρόνον ὄντα, φύσει δὲ λεκτέον ἅμα εἶναι τά τε συναναιροῦντα ἄλληλα καὶ τὰ μὴ δυνάμενα χωρὶς ἀλλήλων εἶναι, οἷον τό τε διπλάσιον καὶ τὸ ἥμισυ· ταῦτα γὰρ συναναιροῦνται ἄλληλα (l. ἀλλήλοις) καὶ τὰ μὴ δυνάμενα χωρὶς ἀλλήλων εἶναι, οἷον τό τε διπλάσιον καὶ τὸ ἥμισυ· ταῦτα γὰρ συναναιροῦνται ἀλλήλοις καὶ τὸ ἕτερον χωρὶς τοῦ ἑτέρου ἀδύνατον εἶναι· διπλασίου γὰρ ἀναιρεθέντος οὐκ ἔσται ἥμισυ καὶ ἡμίσους ἀναιρεθέντος οὐκ ἔσται διπλάσιον καὶ ἀδύνατόν ἐστι διπλασίου ὄντος μὴ εἶναι ἥμισυ. Τούτων οὕτως ἀποδειχθέντων ἀκόλουθον εἰπεῖν περὶ τῶν ὄντων (cf. supra XXXII).

**LXX.** Cod. Marc. 68 : Διαιροῦνται τὰ ἐναντία οὕτως. Τῶν ὄντων τῶν μέν ἐστί τι ἐναντίον τῶν δὲ οὔ· χρυσῷ μὲν γὰρ καὶ ἀνθρώπῳ καὶ ἱματίῳ καὶ τοῖς τοιούτοις οὐδέν ἐστιν ἐναντίον, ἀρετῇ δὲ καὶ ἀγαθῷ καὶ θερμῷ ἐστιν ἐναντίον· ἀγαθῶν μὲν γὰρ ἐναντίον τὸ κακόν, ἀρετῇ δὲ κακία, θερμῷ δὲ ψυχρόν. Τῶν ἐναντίων τοίνυν αὐτῶν τὰ μὲν ἔχουσί τι ἀνὰ μέσον τὰ δὲ οὔ. Ἀγαθοῦ μὲν γὰρ καὶ κακοῦ ἔστι τι ἀνὰ μέσον, κινήσεως δὲ καὶ ἠρεμίας οὐδέν ἐστιν ἀνὰ μέσον· ἐξ ἀνάγκης γὰρ πάντα ἢ κινεῖται ἢ ἠρεμεῖ. Καὶ ζωῆς καὶ θανάτου οὐδέν ἐστιν ἀνὰ μέσον· ἐξ ἀνάγκης γὰρ ὅπερ τῆς ζωῆς δεκτικόν ἐστιν, ἢ ζῇ ἢ τέθνηκεν. Αὐτὰ δὲ τὰ ἐναντία λέγεται περιττῶς· ἢ γὰρ ὡς ἀγαθῷ κακὸν ἐναντίον ἐστίν, οἷον τῇ δικαιοσύνῃ ἡ ἀδικία καὶ τῇ σωφροσύνῃ ἡ ἀκολασία καὶ τὰ τοιαῦτα, ἢ ὡς οὐδέτερον οὐδετέρῳ ἐναντίον ἐστίν ... τούτων γὰρ οὐδέν ἐστιν οὔτε ἀγαθὸν οὔτε κακόν. Ὡς κακὸν κακῷ δὲ ἐναντίον ἐστὶ κακὸν ἡ ὑπερβολὴ τῇ ἐνδείᾳ καὶ τὰ καθ' ὑπερβολὴν καὶ ἔλλειψιν λεγόμενα, οἷον τὸ ὑπερβαλλόντως ψύχεσθαι (deesse videtur : τῷ ὑπερβαλλόντως θερμαίνεσθαι)· ταῦτα γὰρ καθ' ὑπερβολὴν λέγεται (addend. ἐναντία) καὶ τὸ ἐλλεῖπον τοῦ θερμοῦ τῷ ἐλλείποντι τοῦ ψυχροῦ· καὶ γὰρ ταῦτα κατ' ἔλλειψιν ἐναντία. (Cf. supra XXVII.)

**LXXI.** Cod. Marc. 69 : Μετὰ ταῦτα τοίνυν περὶ καταφάσεως σκεπτέον πῶς λέγομεν. Φαμὲν οὖν πᾶσαν κατηγορίαν ᾗ δηλοῦμεν ὑπάρχειν τι κατάφασιν εἶναι, οἷον τὸ καθῆσθαι τὸν ἄνθρωπον ἢ λευκὸν εἶναι τὸ ἱμάτιον καὶ πάντα τὰ τοῦτον τὸν τρόπον λεγόμενα. Ἀπόφασις δέ ἐστι τοιοῦτον οἷον τὸ μὴ καθῆσθαι τὸν ἄνθρωπον καὶ τὸ μὴ λευκὸν εἶναι τὸ ἱμάτιον καὶ ἁπλῶς οὗ τὸ μὴ ἢ τὸ οὐ προστεθὲν σημαίνει μὴ ὑπάρχειν τι.

---

fertur, quum vero totum non est nihil impedit quin pars sit. Manifestum vero quot modis dicatur prius, tot etiam dici posterius : posterius enim dicemus sive natura sive tempore, sive positione, sive ordine, sive facultate.

LXIX. Quot modis dicitur prius et posterius, tot etiam et simul dicetur : sive enim natura, sive ordine, sive facultate, sive tempore, sive ordine. Positione vero simul sunt ea quæ loco sunt æqualia ; ita dicimus ea quæ currunt vel quæ stant simul esse. Ordine simul sunt quæ jugatim procedunt. Facultate simul esse dicimus quorum neutrum altero plus potest. Tempore simul esse dicimus quæ eodem sunt tempore. Natura simul esse ea dicenda sunt quæ se invicem auferunt et quorum alterum sine altero esse nequit, ut duplum et dimidium : horum enim alterum ab altero aufertur et alterum sine altero esse non potest : ablato enim duplo non erit dimidium, et quum duplum est, ut non sit dimidium fieri nequit. His ita demonstratis sequitur ut de iis quæ sunt loquamur.

LXX. Contraria sic dividuntur. Eorum quæ sunt habent alia contraria, alia non habent; auro enim et homini et vesti et similibus nihil est contrarium, virtuti autem et bono et calido contrarium est; mala enim bonis sunt contraria, virtuti autem vitium, calido vero frigidum. Contrariorum vero ipsorum nonnulla aliquid in medio habent, nonnulla vero nihil. Bonum enim atque malum aliquid in medio positum habent, motus autem et quies nihil : necesse enim est omnia sive moveri sive in quiete esse. Ita et vita et mors nihil in medio habent : necessario enim quodcunque vitæ particeps fieri potest, aut vivit aut mortuum est. Ipsa vero contraria peculiari quodam modo dicuntur : sive enim ut bono malum contrarium est velut justitiæ injustitia et temperantiæ intemperantia et similia, sive neutrum neutri contrarium est (*desunt exempla*), horum enim nihil neque bonum neque malum est. Ex malis vero malum malo contrarium est exsuperantia indigentiæ, et quæ sive per excessum sive per defectum dicta sunt, ut supra modum refrigerari, hæc enim per excessum dicuntur : et indigentia caloris indigentiæ frigoris, hæc enim per defectum contraria.

LXXI. Post hæc quærendum est de affirmatione quomodo eam dicamus. Dicimus igitur omne prædicamentum quo aliquid esse affirmamus, affirmationem vocari, ut dicimus hominem sedere, albam esse vestem et omnia hoc modo dicta. Negatio vero hæc est : hominem non sedere, vestem non albam esse et omnino quodcunque addito non significatur non esse.

## III. SCRIPTA LOGICA.

Scriptorum logici argumenti quæ in deperditis Aristotelis libris habenda sunt, duplex est genus. Primum eorum est quæ, quum titulo et argumento illis similia essent e quibus illud logicæ et dialecticæ doctrinæ corpus est compositum, cui philosophi Aristotele recentiores *Organi* nomen indiderunt (cf. Schol. in Anal. pr. p. 140, A 48, David in Categ. p. 25, B, 31 ; 26, A, 12), ab antiquis interpretibus ut spuria rejecta sunt. Alterorum deinde eorum quorum memoria sive in indicibus sive alibi exstat. De hoc altero genere loquitur Alexander Aphrod. in Arist. Topic. p. 5 (p. 252, A, 8 Brand.) : Περὶ δὲ τῆς οὕτω λεγομένης διαλεκτικῆς Ἀριστοτέλης μὲν καὶ ἐν ἄλλοις βιβλίοις πεπραγμάτευται, μάλιστα δὲ ἐν τούτοις ἃ ἐπιγράφεται Τοπικά. Magis etiam perspicue alio loco idem hosce tangit libros, sive potius argumentorum collectiones, ad discipulorum, ut videtur, usum institutas, quarum longe maximum numerum nostri indices recensent. Quum enim philosophus, de utilitate Topicorum disputans Topic. I, 2, ea πρὸς γυμνασίαν, πρὸς τὰς ἐντεύξεις, πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας utilia esse dixisset, de prioribus hæc adnotat, ib. p. 16 (p. 254, B, 10) : Ἡ γυμνασίαν λέγοι ἂν τὴν εἰς ἑκάτερον μέρος ἐπιχείρησιν. Ἦν δὲ σύνηθες τὸ τοιοῦτον εἶδος τῶν λόγων τοῖς ἀρχαίοις, καὶ τὰς συνουσίας τὰς πλείστας τοῦτον ἐποιοῦντο τὸν τρόπον, οὐκ ἐπὶ βιβλίων ὥσπερ νῦν (οὐ γὰρ ἦν πω τότε τοιαῦτα βιβλία), ἀλλὰ θέσεώς τινος τεθείσης εἰς ταύτην γυμνάζοντες αὑτῶν τὸ πρὸς τὰς ἐπιχειρήσεις εὑρετικὸν ἐπεχείρουν κατασκευάζοντές τε καὶ ἀνασκευάζοντες δι' ἐνδόξων τὸ κείμενον. Καὶ ἔστι βιβλία τοιαῦτα Ἀριστοτέλει τε καὶ Θεοφράστῳ γεγραμμένα, ἔχοντα τὴν εἰς τὰ ἀντικείμενα δι' ἐνδόξων ἐπιχείρησιν (cf. Dschemaludd. 54), quod cum et Theon Progymn. c. 2, t. I, p. 165 Walz. confirmat : Παραδείγματα δὲ τῆς τῶν θέσεων γυμνασίας λαβεῖν ἐστι παρά τε Ἀριστοτέλους καὶ Θεοφράστου· πολλὰ γάρ ἐστιν αὐτῶν βιβλία Θέσεων ἐπιγραφόμενα, tum quodammodo et notissima Strabonis verba testantur XIII, p. 608 : Συνέβη δὲ τοῖς ἐκ τῶν Περιπάτων, τοῖς μὲν πάλαι τοῖς μετὰ Θεόφραστον, οὐκ ἔχουσιν ὅλως τὰ βιβλία, πλὴν ὀλίγων, καὶ μάλιστα τῶν ἐξωτερικῶν, μηδὲν ἔχειν φιλοσοφεῖν πραγματικῶς, ἀλλὰ θέσεις ληκυθίζειν. Quod si quæ ab ipso Aristotele Topic. I, 19, ejusque interprete p. 43 dicta sunt, de eo quod inter θέσιν et πρόβλημα intersit, colligimus, jam illud manifestum erit hosce Θέσεων libros, libris Problematum simillimos fuisse, nec minus igitur interpolationibus obnoxios. Ex his tamen nullum exstare fragmentum videtur.

A Θέσεων libris, qui vocabantur Ἐπιχειρημάτων (cf. Diog. Laert. (65) Ἐπιχειρημάτων α'β', (70) Θέσεις ἐπιχειρηματικαὶ κέ) non multum fortasse diversi fuerunt. Ad quos tamen num referenda sint quæ habet Aristoteles de Memoria c. 2 : Πρῶτον μὲν οὖν ὅσα ἐν τοῖς ἐπιχειρηματικοῖς λόγοις ἐστὶν ἀληθῆ δεῖ τίθεσθαι ὡς ὑπάρχοντα· οὔτε γὰρ μνήμης ἐστὶν ἀνάληψις ἡ ἀνάμνησις οὔτε λῆψις (ubi sic Michael Ephesius f. 131 verso : Ἐπιχειρηματικοὺς λόγους λέγει τὰ προβλήματα. Ἔστι δὲ τὸ λεγόμενον· ὅσα ἐν τοῖς προβλήμασιν ἡμῖν εἴρηται καὶ δέδεικται ἀποδεικτικῶς περὶ ἀναμνήσεως, δεῖ ἐνταῦθα ὡς ὁμολογούμενα λαμβάνειν, et similiter jam Themistius fol. 97 recto, t. II, p. 241, 16 Spengel. : Ὅσα ἐν τοῖς ἐπιχειρηματικοῖς λόγοις καὶ προβληματικοῖς ἡμῖν ἀποδέδεικται), vix magis affirmari licet, quam de iis quæ leguntur apud Joannem Philoponum in Anal. post. fol. 51 verso (p. 227, A, 43 Brand.) : Λογικώτερα δέ φησιν ἐπιχειρήματα ὁ Ἀλέξανδρος τὰ ἐπὶ τῶν ὁρισμῶν, οἷς πρώτως κέχρηται. Λαμβάνει γὰρ ὅτι εἰσὶν ὁρισμοὶ καὶ ἔστιν ὁρίσασθαι τὰ πράγματα, μὴ δείξας ὅτι εἰσὶν ὁρισμοί, ὥσπερ καὶ ἐν τῷ δευτέρῳ τῶν Λογικῶν Ἐπιχειρημάτων λαμβάνει τοῦτο ὡμολογημένον ὅτι ἔστιν ἀπόδειξις. Ipsius enim Aristotelis verba non de libro sed de disputationum genere accipienda sunt, quum contra Joannes Philoponus, non, ut nonnulli voluerunt (cf. Brandis, *Aristoteles*, I, p. 86, Zeller, *Philosophie der Griechen* t. II, p. 54, Prantl, *Geschichte der Logik* t. I, p. 94) deperditum quendam Aristotelis librum, sed ipsum in quem commentatus est philosophi locum significat, quod optime demonstravit Rosius, p. 123, collatis ejusdem Philoponi verbis fol. 56 recto, p. 229, B, 25 : Ἡ τοῦ Ἀλεξάνδρου ἐξήγησις ἡ ἐπὶ τοῦ προτέρου ἐπιχειρήματος et 31 : Διὰ μέντοι τοῦ νῦν ἐπιχειρήματος δείκνυσιν κτλ.

Cavendum vero est ne in similem errorem abducamur ab antiquis philosophi interpretibus, qui quum certam definitamque Aristotelis librorum partem quandam indicare vellent, haud semel deperditum aliquem respicere videntur et quidem talem sæpe cujus titulus in indicibus reperitur. Exemplo ipse erit Joannes Philoponus, quippe quem, in Aristotelis Anal. post. fol. 14 recto (p. 202, B, 29) ita dicentem : ὡς δέδεικται ἐν τῷ περὶ συλλογισμοῦ, de libro Συλλογισμοῦ α' (Diog. L. 48) sive Συλλογισμῶν α' β' (Diog. L. 56, Anon. 46) inscripto loqui existimare possit aliquis, quum tamen Priorum Analyticorum partem (II, 5, sive 10) significarit, eodem plane modo quo ipse Aristoteles in Analyt. post. I, 3, 7 et 11, 8 : Δέδεικται ἐν τοῖς περὶ συλλογισμοῦ dixerat. (Cf. Galen. de Libr. propr. t. XIX, p. 41,

Joann. Philop. in Arist. Anal. post. f. 3 recto, p. 195, B, 40). Impedita magis quæstio est de duobus Alexandri Aphrodisiensis locis in quibus liber περὶ καταφάσεως nominatur, in Aristot. Analyt. prior. I, 3, 1, fol. 12 verso (p. 149, A, 31) : Εἰ γὰρ μὴ ἐξ ἀνάγκης τὸ β' τῷ α' μηδενὶ ὑπάρχει, ἀλλὰ ἐνδέχοιτό τινι ὑπάρχειν· αὕτη γὰρ ἀναίρεσις καὶ ἀντίφασις πρὸς τὴν καθόλου ἀποφατικὴν ἀναγκαίαν, ὡς ἐν τῷ περὶ καταφάσεως δέδεικται λόγῳ· et in Metaphys. III, 7, 1, p. 286, 24 Bon. : Αἵ τε καταφάσεις καὶ ἀποφάσεις. Εἴρηται δὲ περὶ τούτων ἐπὶ πλέον ἔν τε τῷ περὶ Ἑρμηνείας καὶ ἐν τῷ περὶ Καταφάσεως, ubi tamen præstat fortasse de Theophrasti libro cogitare, quem præter indicem Diogenis et Galenum de Libris propriis t. XIX, p. 42, 47 ed. Lips. : Θεοφράστου βιβλίον ὃ περὶ καταφάσεως καὶ ἀποφάσεως ἔγραψε, sæpius citaverunt cum Alexander ipse, in Anal. pr. fol. 5 recto (144, B, 32 Brand.), 21 verso (152, B, 39) 124 recto (183, B, 2), 128 recto (184, A, 30 et 38), in Topic. p. 130, in Metaphys. p. 229, 26 Bon., tum Boethius p. 283, 44; 284, 37; 318, 29, quam, sicuti a Zellero factum est (l. l. p. 52) ad peculiarem quendam librum Aristotelis referre.

## I. ΚΑΤΗΓΟΡΙΑΙ. ΑΝΑΛΥΤΙΚΑ.

Varie a variis inscriptum fuisse Categoriarum libellum cum omnes ejus interpretes tradiderunt, tum et ipsi qui in codicibus leguntur tituli (Cf. Waitz. Aristotel. Organon t. I, p. 81, Brandis. *über die Reihenfolge der Bücher des Aristotel. Organons*, Berl. 1833, p. 266) declarant. Inter has vero inscriptiones antiquissima videtur fuisse τὰ Πρὸ τῶν Τόπων, cui inter Peripateticos, qui post Andronicum vixerunt, auctoritatem addere conati sunt Herminus (David in Categ. p. 81, B, 25) et Adrastus (Simplic., in Categ. f. 4, p. 32, B, 44, Anon. in Categ. p. 32, B, 36. Cf. tamen David Prol. in Categ. p. 30, A, 7). Ipsam vero antiquiorem fuisse Andronico, Porphyrius, ut videtur, apud Simplicium testatur in Categ. fol. 7, p. 81, A, 27 : Τινὲς μὲν γὰρ, ὧν καὶ Ἀνδρόνικός ἐστι, παρὰ τὴν πρόθεσιν τοῦ βιβλίου προσκεῖσθαί φασιν ὑπό τινος ταῦτα τοῦ τὸ τῶν Κατηγοριῶν βιβλίον Πρὸ τῶν Τόπων ἐπιγράψαντος, οὐκ ἐννοοῦντες οὗτοι πόσην χρείαν οὐ τῇ Τοπικῇ πραγματείᾳ μόνον ἀλλὰ καὶ τῷ περὶ τῶν Κατηγοριῶν λόγῳ εἰσάγει τὰ εἰρημένα. Unde illud affirmare licet, titulum τὰ πρὸ τῶν Τόπων α' apud Diogenem Laertium (59) et apud Anonymum (49), in nullum alium librum cadere quam in Categoriarum. Quum vero in iisdem indicibus iterum nominentur Κατηγορίαι α' (Diog. L. 141, Anon. 121), ipsorum indicum testimonio confirmatum vides, quod ab antiquis interpretibus de duplici Categoriarum exemplo in antiquis bibliothecis exstanti narratur.

Quod ad Analyticorum libros attinet, de quibus similia traduntur, unum illud adjiciam, satis verisimile videri quod Rosius conjecit (p. 126) non τεσσαράκοντα sed τεσσαρεσκαίδεκα scripsisse illum, e quo suam de hac re posteriores hauserunt notitiam, sive Adrastus, sive, ut libentius crediderim, Andronicus fuerit.

(138 b).

Simplicius Proleg. in Categ. f. 4, Z, ed. Basil. : Ἱστορεῖ δὲ ὁ Ἄδραστος ἐν τῷ περὶ τῆς Τάξεως τῶν Ἀριστοτέλους συγγραμμάτων, ὅτι φέρεται καὶ ἄλλο τῶν Κατηγοριῶν βιβλίον ὡς Ἀριστοτέλους, καὶ αὐτὸ ὂν βραχὺ καὶ σύντομον κατὰ τὴν λέξιν καὶ διαιρέσεσιν ὀλίγαις διαφερόμενον, ἀρχὴν δὲ ἔχον· « Τῶν ὄντων τὰ μέν ἐστι ». Πλῆθος δὲ στίχων ἑκατέρου τὸ αὐτὸ ἀναγράφει, ὥστε τὸ βραχὺ κατὰ τὴν λέξιν εἶπεν, ὡς συντόμως ἕκαστον τῶν ἐπιχειρημάτων ἐκτιθέμενον.

Πανταχοῦ e codice Rosius, pro πολλαχοῦ quod est apud Bekkerum p. 279, B, 45. Plane cum his consentiunt quæ in Poetica c. 25 § 14 leguntur :... Οἷον τὰ περὶ τῶν ὅπλων — « Ἔγχεα δέ σφιν ὄρθ' ἐπὶ σαυρωτῆρος »· οὕτω γὰρ τότ' ἐνόμιζον, ὥσπερ καὶ νῦν Ἰλλυριοί.

20 (185).

Schol. Ven. B ad Il. x, 252, p. 251 Vill., p. 285, B, 42 Bekk. Πορφυρίου. Quæstionis quæ ex verbis poetæ :

Ἄστρα δὲ δὴ προβέβηκεν, παρῴχηκεν δὲ πλέον νὺξ
τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται,

oritur, cum et multorum solutiones recensentur, tum et Aristotelis :.... Ἀριστοτέλης δὲ οὕτως ἀξιοῖ λύειν, ἐν οἷς φησίν· « Ἡ εἰς δύο διαίρεσις εἰς ἴσην δύναται γενέσθαι ἐν τούτοις· ἐπεὶ δὲ τὸ πλέον τοῦ ἡμίσεος ἀόριστόν ἐστιν, ὅταν τοσοῦτον αὐξηθῇ ὡς τοῦ ὅλου τρίτον ἀπολείπεσθαι, ἀκριβῶς ἂν εἴη τὸ ἀφορίσαι τοῦτο καὶ δηλῶσαι ὅσον ἐστὶ τὸ καταλειφθέν, ἵνα ὅσον ηὐξήθη τοῦ ὅλου τὸ ἥμισυ δῆλον γένηται· οἷον τῶν ς' ἥμισυ τὰ γ'. Εἴπερ διαιρεθείη τὰ ς' εἰς β' ἴσα, ἔσται γ'. Ἐὰν τὸ ἕτερον μέρος αὐξηθῇ, ἄδηλον πότερον μορίῳ ἀριθμοῦ ἢ ὅλη μονάδι. Ἐὰν οὖν ὅλῃ μονάδι πλέον γένηται, τὸ μέρος τὸ ὑπολειπόμενον τρίτον ἔσται τοῦ ὅλου, ὥστε καὶ ὁ εἰπὼν « τῶν δύο μερῶν θάτερον πλέον γενόμενον καταλέλοιπε τριτάτην μοῖραν », δεδήλωκεν ὅτι ἐν αὐξήσει τὸ πλέον μονάδι γέγονε, τεσσάρων γεγονότων τῶν τριῶν καὶ δύο ὑπολειπομένων, ὅπερ ἦν τῶν ἓξ τὸ τρίτον. » Ἐπεὶ οὖν καὶ τῆς νυκτὸς αἱ δώδεκα μοῖραι εἰς δύο ἴσας μερίδας μερίζεσθαι δύνανται εἰς ἕξ, ηὐξήθη δὲ καὶ πλέον γεγονὸς θάτερον μέρος, ἄδηλον δὲ τὸ πόσαις ὥραις (καὶ γὰρ μιᾷ καὶ δύο καὶ τρισὶ καὶ πλείοσιν ἡ αὔξησις δύναται γίνεσθαι) ἀφορίζει ὁ ποιητὴς τὸ ἀόριστον τοῦ πλείονος πόσον ἦν καὶ ὅτι δύο ὥραις ηὐξήθη, ἐπήγαγεν ὅτι τριτάτη μοῖρα λέλειπται, ὡς ὀκτὼ μὲν γενέσθαι τὰς παρῳχηκυίας ὥρας, καταλείπεσθαι δὲ τέσσαρας, αἵπερ εἰσὶ τοῦ ὅλου τρίτον. Οὕτω καὶ εἰ ιη' εἴη μερῶν, ὅτι δίχα διαιρεῖται εἰς θ', εἴποις δ' ὅτι πλέον τῆς εἰς β' μοίρας παρῴχηκεν, ἡ δὲ τρίτη μοῖρα περιλείπεται, δῆλον ποιήσεις ἐκ τοῦ τὸ τρίτον φάναι περιλείπεσθαι, ὅπερ ἐστὶν ς', ὅτι ιβ' φησιν εἰλῆφθαι. Ἔστω δὲ καὶ ἐπὶ τοῦ νυχθημέρου τῶν ὡρῶν τὸ αὐτὸ ζητούμενον, καὶ λεγέτω τις ὅτι πλέον τι τῶν εἰς β' μοίρας νεμομένων ὡρῶν παρῴχηκεν, ἔτι μὴ ἀφορίσας τὸ πόσον, ἐπαγέτω δὲ ὅτι ἡ τρίτη μοῖρα τοῦ παντὸς λέλειπται· δῆλον γίνεται ὅτι τῆς εἰς β' διαιρέσεως εἰς ιβ' καὶ ιβ' γενομένης, τοῦ τρίτου καταλειφθέντος τοῦ παντός, ὅπερ ἐστὶν η', θάτερον μέρος τὸ πλέον ἐν τέτρασιν ἔσχεν, ὥστε ις' ὥρας τὰς πάσας παρεληλυθέναι, ὑπολείπεσθαι δὲ η'. Ἐν οἷς οὖν εἰς β' ἴσα καὶ εἰς γ' ἐστὶ διαίρεσις, ἐάν τις εἰς β' πλεονάσαντα τὸ γ' τῆς εἰς γ' καταλίποι, ἀφορίζει ὅσῳ πλέον ἡ αὔξησις γέγονε. Σοφῶς οὖν ὁ ποιητὴς τὸ ἀόριστον τρίτον τῆς αὐξήσεως τοῦ ἡμίσεος δεδήλωκεν ὅσον ἦν, ὅτι ὥραις δύο καὶ ὀγδόη παρεληλύθει ὥρα, διὰ τοῦ φάναι

Τριτάτη δ' ἔτι [γὰρ] μοῖρα λέλειπται.

Εἰδὼς γάρ τις ὅτι ιβ' μὲν αἱ ὧραι πᾶσαι τῆς νυκτός, ὧν ἡ εἰς δύο μὲν μοίρας διαίρεσις ς' καὶ ς' ποιεῖ, ἡ δὲ εἰς γ' δ' καὶ δ', καὶ ἀκούσας τῆς εἰς β' μοίρας διαιρέσεως πλέον τι παρῳχηκέναι, εἶτα γνοὺς ὅτι τῆς εἰς γ' τὸ τρίτον ἐπιμένει, ὅπερ ἐστὶν ὧραι δ', εὐθὺς γινώσκει ὅτι ἀπὸ μεσονυκτίου β' ὧραι ἦσαν παραλλάξασαι μεταβάντος. Αὐτόχθων σέ φησιν...

Quæ inde ab ἐπεὶ οὖν καὶ τῆς νυκτὸς ad μετα-

---

20.

Aristoteles arbitratur ita solvendam esse difficultatem (quæ e verbis poetæ oritur :

Stellæ utique multum processerunt : præteriitque major noctis pars
duarum partium, tertia autem adhuc pars reliqua est)

quum dicit : Divisio in duas partes in his ita fieri potest, ut inter se æquales sint. Quoniam vero plus quam dimidium non finitum est, quum in tantum augetur ut totius tertia pars relinquatur, accurate definiri et indicari posset quantum sit quod relinquitur, ut quantum totius dimidium auctum sit appareat. Ita dimidium VI sunt III, siquidem in duas æquales partes dividatur. Si altera pars augetur, incertum est utrum parte numeri, an tota unitate. Si igitur tota unitate pars quæ restat augetur, tertia erit totius, ita ut qui dicat : duarum partium altera majore facta, tertiam partem reliquit, ostendit in augmentatione unitatem accessisse, quum e tribus quattuor sint, duo autem relictas esse quæ sunt tertia pars quum totum ex sex partibus constet. Quum igitur et noctis duodecim divisiones in binas æquales partes dividi possint, quarum senis quæque constat, atque altera quæ major fit augetur incertum vero quot horis : etenim sive una, sive duobus, sive tribus et majore etiam numero augeri potest. Definit autem poeta illam accessionem ostenditque duobus horis auctam esse majorem partem, adjiciens tertiam partem relictam esse, ita ut octo sint quæ jam præterierant horæ, quattuor vero relinquantur, quæ totius sunt tertia pars. Ita quoque et si totum XVIII partibus constat, dimidium IX erunt, et dicas duarum partium majorem præteriisse, tertiam vero partem relictam esse, ostendes, adjiciendo tertiam relictam esse partem quæ VI constat, XII præteriisse. Idem vero de toto horarum numero quæratur et dicat aliquis majorem partem horarum in duas partes divisarum præteriisse, quanto vero major sit non definiat, addat vero tertiam omnium

δάντος leguntur, Rosius Porphyrio, non Aristoteli, tribuit. Nescio an recte. Eadem hæc, sed multo brevius, attigit Aristoteles in Poetica c. 25, § 20 : Τὰ δὲ ἀμφιβολίᾳ (δεῖ λύειν scilicet) « Παρῴχηκεν δὲ πλέων νύξ· » τὸ γὰρ πλέων ἀμφίβολόν ἐστιν. In cod. Ven. A ad hos versus adscribitur : Ἡ διπλῆ διὰ τὸ πολυθρύλλητον ζήτημα καὶ τὰς γεγονυίας ἀποδόσεις.

21 (186).

Schol. Vict. Il. λ, 385, p. 316, A, 6 Bekk. : Κέρᾳ ἀγλαέ. Ἄλλως. Τῇ τριχὶ, ὅθεν καὶ τὸ κείρειν. Ἀριστοτέλης δὲ ὦ τῷ τόξῳ σεμνυνόμενε.

Idem scholium et in cod. Townleiano legitur. Aristotelis nomen male hîc pro Aristarchi positum esse indicavit Spitznerus ad l. l. collato Apollonio Lex. Hom. s. v. Κέρᾳ ἀγλαέ : οἱ μὲν γλωσσογράφοι ταῖς θριξὶν ἀγαλλόμενε· κέρας γὰρ τὴν τρίχα λέγεσθαι. Ὁ δὲ Ἀρίσταρχος κυρίως ἀκούει τὸ τοῦ βοὸς κέρας οἷον τὸ κεράτινον συρίγγιον· τὸ γὰρ παλαιὸν πρὸς τὸ μὴ ἀποτρῶξαι τὸν ἰχθὺν τῷ ἀγκίστρῳ περιτίθεσθαι τοῦτο. Τὸν δὲ Ὅμηρον μηδέποτε εἰρηκέναι κέρας τὴν τρίχα· ὅθεν ἐπὶ τοῦ κέρᾳ ἀγλαὲ, τόξῳ ἀγαλλόμενε. Locus scholiastæ mancus atque mutilus (cf. Lehrs. *de Aristarchi stud. Homeric.* p. 50) ex Eustathio supplendus esse videtur : qui quum primum in Iliad. p. 851, 39 Aristarchi explicationem apposuisset : Τὸ δὲ κέρᾳ ἀγλαὲ, οἱ μὲν ἀντὶ τοῦ τόξοις ἀγλαϊζόμενε, ἵνα λέγῃ κέρατα τοὺς προρρηθέντας πήχεις τοῦ τόξου, οἵπερ εἰσὶν, ὡς ἐδηλώθη, συμβεβλημένα κέρατα, cui et aliam addit : Οἱ δέ φασι, τὸ κέρᾳ ἀγλαὲ, ἀντὶ τοῦ κάλλιστε τὴν τρίχα... Aristotelis meminit hisce verbis : Ἀριστοτέλης δέ, φασί, κέρᾳ ἀγλαὸν εἶπεν ἀντὶ τοῦ αἰδοίῳ σεμνυνόμενον, ἐπὶ τοιούτου σημαινομένου τὴν λέξιν ἐκεῖνος νοήσας. Καὶ ἔοικεν ὁ σκορπιώδης τὴν γλῶσσαν Ἀρχίλοχος, ἁπαλὸν κέρας τὸ αἰδοῖον εἰπὼν, ἐντεῦθεν τὴν λέξιν πορίσασθαι, ubi illud notandum videtur ex Aristotelis explicatione vocem saltem σεμνυνόμενε apud scholiastem exstare, quum in priore explicatione Eustathius ἀγλαϊζόμενε dixerit, quod propius ad ἀγαλλόμενε accedit, quo usus est Apollonius et quod item apud schol. A ad l. l., p. 316, A, 23 Bekk. recurrit. Ejus hæc sunt verba, ex eodem fonte ducta e quo et Eustathius sua habet : Τοξότα, λωβητὴρ, κέρᾳ ἀγλαέ, παρθενοπῖπα : ἡ διπλῆ ὅτι κέρᾳ οὐ τῇ τριχὶ ψιλῶς, ἀλλ' ἐμπλοκῆς τι γένος· εἰς κέρατος τρόπον ἀνεπλέκοντο οἱ παλαιοί. Σώφρων· « Κορώνας ἀνδούμενοι· » καὶ οἱ Ἀθηναῖοι τέττιγας ἐνεπλέκοντο· καὶ παρ' Ὁμήρῳ. « Πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ· » (Il. ρ, 52). Ἔνιοι δὲ τῷ τόξῳ ἀγαλλόμενε· προείρηκε δὲ τοξότα λωβητήρ. Interpretationis quæ ab Eustathio Aristoteli tribuitur, quamque ut cum Rosio Aristophani adscribamus nulla causa est, meminit quoque Hesychius, s. v. Κέρας : θρίξ, τόξον καὶ αἰδοῖον. Ceterum de vocis κέρας significatione cf. infra fragm. 191.

22 (187).

Schol. cod. Leid. ad Iliad. λ, 636, apud Valckenar. in Ammon. p. 244 (Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν) : Πορφυρίου. Διὰ τί πεποίηκε μόνον τὸν Νέστορα αἴροντα τὸ ἔκπωμα; οὐ γὰρ εἰκὸς ῥᾷον αἴρειν νεώτερον (scrib. νεωτέρου). Καὶ Στησίμβροτος μὲν οὖν φησι, ἵνα δοκῇ εἰκότως πολλὰ ἔτη βεβιωκέναι· εἰ γὰρ παράνομος ἡ ἰσχὺς καὶ οὐχ ὑπὸ γήρως μεμάρανται, καὶ τὰ τῆς ζωῆς εὔλογον εἶναι παραπλήσια. Ἀντισθένης δὲ οὐ περὶ τῆς κατὰ χεῖρα βαρύτητος λέγει, ἀλλ' ὅτι οὐκ ἐμεθύσκετο σημαίνει, ἀλλ' ἔφερε ῥᾳδίως τὸν οἶνον. Γλαῦκος (Γλαύκων? cf. Schol. Iliad. α, 1 et Wolf. Proleg. p. CLXII. Γλαῦκος tamen legitur in Schol. B L ad hunc l. et ad Il. π, 414, p. 456, B, 32) δέ, ὅτι κατὰ διάμετρον ἐλάμβανε τὰ ὦτα, ἐκ μέσου δὲ πανεύφορον (scrib. πᾶν εὔφορον). Ἀριστοτέλης δὲ τὸ Νέστωρ ὁ γέρων ἀπὸ κοινοῦ ἔφη δεῖν ἀκούειν ἐπὶ τοῦ ἄλλως (scrib. ἄλλος)· ἵν' ᾖ, Ἄλλος μὲν γέρων μογέων ἀποκινήσασκε τραπέζης, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν· πρὸς γὰρ τοὺς καθ' ἡλικίαν ὁμοίους γενέσθαι τὴν σύγκρισιν.

Idem schol. e cod. Paris. 2679 exstat apud Cramer. Anecd. Paris. t. III, p. 16, 20, ubi recte ἄλλος editum est. Omisso Aristotelis nomine schol. D p. 325, A, 25 Bekk. : Προσληπτέον τὸ

---

horarum partem relictam esse, manifestum fiet, divisione in XII et XII facta, quum totius tertia pars relicta sit quæ est VIII, alteram partem quattuor partibus majorem esse, ut numerus horarum quæ jam præterierunt XVI sit, relinquantur vero VIII, etc.

21.

Κέρᾳ ἀγλαέ, Aristoteles (immo Aristarchus) interpretatur arcu superbe.

Aristoteles, ut ferunt, κέρᾳ ἀγλαόν dixit pro insignem pudendo.

22.

Cur in his versibus :

Alius quidem non sine labore submovisset de mensa,
Plenum si esset, Nestor vero senex nullo labore tollebat;

unum Nestorem dicit tollere poculum?... Aristoteles vero dicit verba Nestor senex in commune esse intelligenda cum voce ἄλλος, ita ut sit : Alius quidem senex non sine labore submovisset de mensa, Nestor autem senex nullo labore tollebat; comparationem enim fieri cum iis qui ætate æquales sint.

πρεσβύτης, ἵν' ᾖ οὐ ῥᾳδίως οὐδὲ εὐχερῶς αὐτὸ ἐκίνει τῆς τραπέζης τις τῶν λοιπῶν γερόντων, ἀλλὰ μογέων, ὅ ἐστιν ὀκνῶν. Schol. B L ib. v. 31 : Ἔνιοι δὲ ἀπὸ κοινοῦ τὸ γέρων, ἵν' ᾖ ἄλλος μὲν γέρων μογέων ἐκίνει, ὁ δὲ γέρων Νέστωρ ἀμογητὶ ἄειρεν. Itaque in Schol. A v. 11 : Ἄλλως. Ὁ Ἀσκαλωνίτης ψιλοῖ, καί φησιν ὅτι ἐπὶ τοῦ Νέστορος κεῖται· ἄλλος μὲν γὰρ ἄν τις αὐτὸ μόγις ἐκίνησε, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν· πολὺ πρότερον δὲ οὕτως καὶ Ἀρίσταρχος, pro Ἀρίσταρχος potius reponendum est Ἀριστοτέλης, quam, ut voluit Rosius, Ἀρίσταρχος pro Ἀριστοτέλης in Schol. cod. Paris. : etenim si recte disputata sunt, quæ de ætate Ptolemæi Ascalonitæ a Beccardo, *De scholiis in Homer. Venetis* A, p. 71 n., observantur, eum Dionysii Thracis et Ammonii æqualem fuisse, nec ita multo post Aristarchum vixisse, illud apud Scholiastam πολὺ πρότερον δὲ οὕτως vix in Aristarchum cadere poterit. Aristotelis nomen deinde recte se habere, cum Porphyrii mentio demonstrat quæ in cod. Leid. invenitur (de hac re vide quæ Rosius dixit ad fr. 21, p. 169), tum et similis plane explicatio quæ apud Athenæum XI, p. 493, C, e Sosibio Lacone legitur, Aristarcho antiquiore (cf. Müller. Fragm. hist. Græc. T. II, p. 625) : Σωσίβιος δὲ ὁ λυτικὸς προθεὶς τὰ ἔπη·

Ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης
πλεῖον ἐόν, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν,

γράφει κατὰ λέξιν· « Νῦν τὸ μὲν ἐπιτιμώμενόν ἐστι τῷ ποιητῇ ὅτι τοὺς μὲν λοιποὺς ἔστι μογέοντας ἀείρειν τὸ δέπας, τὸν δὲ Νέστορα μόνον ἀμογητί. Ἄλογον δ' ἐδόκει Διομήδους καὶ Αἴαντος, ἔτι δ' Ἀχιλλέως παρόντων εἰσάγεσθαι τὸν Νέστορα γενναιότερον, τῇ ἡλικίᾳ προβεβηκότα. Τούτων τοίνυν οὕτως κατηγορουμένων τῇ ἀναστροφῇ χρησάμενοι ἀπολύομεν τὸν ποιητήν. Ἀπὸ γὰρ τούτου τοῦ ἐξαμέτρου,

Πλεῖον ἐόν, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν,

ἀπὸ τοῦ μέσου ἐξελόντες τὸ γέρων τάξομεν τοῦ πρώτου στίχου πρὸς τὴν ἀρχὴν ὑπὸ τὸ « ἄλλος μέν, » εἶτα τὸ ἐξ ἀρχῆς συνεροῦμεν· « Ἄλλος μὲν γέρων μογέων ἀποκινήσασκε τραπέζης πλεῖον ἐόν, ὁ δὲ Νέστωρ ἀπονητὶ ἄειρεν. » Νῦν οὖν οὕτω τεταγμένων ὁ Νέστωρ φαίνεται τῶν μὲν λοιπῶν πρεσβυτῶν μόνος τὸ δέπας ἀμογητὶ ἀείρων. Cf. Eustath. in Iliad. p. 870, 40.

## 23 (188).

Etymol. Magn. p. 180, 49 : Ἀχερωΐς : ἡ λεύκη, τὸ δένδρον· παρὰ τὸν Ἀχέροντα ποταμόν. Φασὶ γὰρ τὸν Ἡρακλέα ἐπὶ τὸν Κέρβερον κατελθόντα καὶ παρὰ τῷ Ἀχέροντι πεφυκὸς τὸ δένδρον ἑωρακότα, ἡσθῆναι ἐπ' αὐτῷ καὶ ἀνενεγκεῖν· καὶ παρὰ τὸν Ἀχέροντα ἀχερωΐδα καλεῖσθαι ἵν' ᾖ ἀχεροντίς· καὶ κατὰ συγκοπὴν καὶ ἔκτασιν τοῦ ο εἰς ω ἀχερωΐς. Ἀριστοτέλης δὲ τὴν αἴγειρον λέγει, ὅτι πάντα τὰ ὑλώδη φυτὰ ἀχεροῦσια λέγει.

Hæc e scholiis ad Il. ν, 389, sive π, 482 desumpta esse demonstrant vestigia in codicibus servata. Schol. ABD Iliad. ν, 389 (p. 369, B, 33 Bekk.) : Ἀχερωΐς : ἡ λεύκη, παρὰ τὸ ἐκ τοῦ Ἀχέροντος ποταμοῦ τῶν καταχθονίων κομισθῆναι αὐτὴν ὑπὸ Ἡρακλέους, στεψαμένου αὐτὴν ἐπὶ τῇ Κερβέρου νίκῃ. Schol. AD Il. π, 482 : Ἀχερωΐς : δένδρον ὁ καλεῖται λεύκη· ἔνιοι δὲ φηγοῦ εἶδος εἶπον αὐτήν. Apud Hesychium s. v. Ἀχεροῦσια : ὕδατα ἑλώδη, ubi corrigendum est fortasse φυτὰ ἑλώδη, et Ἀχερωΐς : δένδρου γένος ἀκάρπου· λεύκη. In Etymologici loco pro ὑλώδη, ἑλώδη scribendum esse apparet. Cf. Eustath. in Iliad. p. 939 1 : Ἕτεροι δὲ ἀντὶ τοῦ ἀχερωῒς ἀχελωῒς γράφουσιν, ὡς ἄν τις εἴποι ὑδατοτρεφής, ὡς Ἀχελῴου λεγομένου παντὸς ὕδατος, καθὰ καὶ ἑξῆς που ῥηθήσεται (p. 1231, 11). Καὶ νοοῦσιν, ὡς αὐτοὶ βούλονται, ἀχελωΐδα τὴν αἴγειρον, ὡς ὕδασι χαίρουσαν.

## 24 (189).

Schol. A ad Iliad. τ, 108 (Εἰ δ' ἄγε νῦν μοι ὄμοσσον), p. 520, B, 9 Bekk. : Διὰ τί ἡ Ἥρα ὀμόσαι πρὸς τὸν Δία; ἢ δῆλον ὡς οὐ ποιοῦντα ἃ ἂν φῇ. Εἰ δὲ τοῦτο, διὰ τί οὐ κατανεῦσαι ἀλλὰ καὶ ὀμόσαι ἠξίωσεν, ὡς καὶ ψευδομένου ἂν μὴ ὀμόσῃ; Ὁ δὲ ποιητὴς φησιν ἀληθεύειν « ὅ τι κεν κεφαλῇ κατανεύσῃ · » (Il. α, 527). Τὸ μὲν οὖν ὅλον μυθῶδες· καὶ γὰρ οὐδ' ἀφ' ἑαυτοῦ ταῦτά φησιν Ὅμηρος οὐδὲ γινόμενα εἰσάγει.

---

23.

Aristoteles dicit arborem quam poeta ἀχερωΐδα appellat populum esse, propterea quod omnia quæ in paludibus sint ἀχεροῦσια vocet.

24.

Cur Juno impellit Jovem ad jusjurandum? Nimirum quia credit eum non facturum quæ dicat. Si vero hoc est, cur non ab eo petit ut adnuat sed ut juret, utpote ab aliquo qui nisi juratus sit mentiatur? Poeta vero dicit vera dicere ea quæcunque capite adnuerit. Totum autem fabulosum est : etenim hæc neque quasi propria persona dicit, nec facta narrat, sed eorum meminit quæ de Herculis ortu tradita sunt. Dicendum etiam illud est fabulam recte Junonem inducere Jovem jurare cogentem. Omnes enim in illis rebus de quibus valde metuunt ne aliter evadant quam maxime tuti a fraude esse volunt : quare Juno utpote quæ non de parvis contendat et sciat

ἀλλ' ὡς διαδεδομένων περὶ τὴν Ἡρακλέους γένεσιν μέμνηται. Ῥητέον δὲ ὅτι καὶ ὁ μῦθος εἰκότως εἰσάγει τὴν Ἥραν ὁρκοῦσαν τὸν Δία· πάντες γὰρ περὶ ὧν φοβοῦνται μὴ ἄλλως ἀποβῇ, πολὺ τῷ ἀσφαλεῖ προέχειν πειρῶνται· διὸ καὶ ἡ Ἥρα ἅτε οὐ περὶ μικρῶν ἀγωνιζομένη καὶ τὸν Δία εἰδυῖα ὅτι αἰσθόμενος τὸν Ἡρακλέα δουλεύοντα ὑπεραγανακτήσει, τῇ ἰσχυροτάτῃ ἀνάγκῃ κατέλαβεν αὐτόν. Οὕτως Ἀριστοτέλης.

In quæstione προάγει vel tale quid scribendum esse animadvertit Rosius.

24[b] (149[b]).

Schol. A ad Iliad. ψ, 269 (τῷ τε τετάρτῳ θῆκε δύο χρυσοῖο τάλαντα), p. 611, A, 47 Bekk.: Πῶς τῷ τετάρτῳ πάντων μεῖζον δίδωσι; φησὶν οὖν ὁ Ἀριστοτέλης μὴ εἶναι τὸ τάλαντον ὡρισμένον ποσόν, ἀλλὰ καὶ ἐπὶ ἥσσονος καὶ μείζονος λαμβάνεσθαι· νῦν μὲν γὰρ ὡς ἧττον ἵππου λαμβάνεται, ἐν δὲ ταῖς Λιταῖς ὡς μεῖζον.

Initium scholii ita e mss. apud Kammer. l. l. p. 21 : Πορφυρίου. Διὰ τί Ἀχιλλεὺς ἐν τῷ τετάρτῳ ἀγῶνι πλεῖστον ἀποδίδωσιν ἆθλον; τὰ γὰρ δύο τάλαντα τοῦ χρυσοῦ πλεῖον ἵππου καὶ γυναικός· ὅτι δὲ οὐκ ὀλίγον ἦν, σημεῖον ὅτι ἐν Λιταῖς προτίθησι δέκα τάλαντα χρυσοῦ πρὸς πολλῇ προικί· λύων οὖν ὁ Ἀριστοτέλης κτἑ. Sequuntur cetera quæ ad 169 leguntur. Cf. supra fr. 2 et Eustathium ad ψ, 269, p. 1299, 50.

25 (190).

Schol. BM Iliad. ω, 15, p. 628, A, 30 : Πορφυρίου. Διὰ τί ὁ Ἀχιλλεὺς τὸν Ἕκτορα εἷλκε περὶ τὸν τάφον τοῦ Πατρόκλου, παρὰ τὰ νενομισμένα ποιῶν εἰς τὸν νεκρόν; ἢ παρανομοῦσι τὰ αὐτὰ οὐχ οἱ ἀμυνόμενοι ἀλλ' οἱ ἄρχοντες, ὁ δὲ Ἕκτωρ πρότερος ἐπεχείρησε λωβήσασθαι Πάτροκλον τὰ τοιαῦτα... Ἔστι δὲ λύειν (item, λύσις B), φησὶν Ἀριστοτέλης, καὶ εἰς τὰ ὑπάρχοντα ἀνάγειν (codd. ἀνάγων) ἔθη, ὅτι τοιαῦτα ἦν, ἐπεὶ καὶ νῦν ἐν Θετταλίᾳ περιέλκουσι περὶ τοὺς τάφους (adde τοὺς τῶν φιλτάτων φονέας).

Similis plane solutio in schol. AB Leid. ad Iliad. χ, 397 legitur p. 600, A, 36 : Διὰ τί Ἀχιλλεὺς θανόντα σύρει τὸν Ἕκτορα... Ὁ δὲ Καλλίμαχός φησιν ὅτι πάτριόν ἐστι Θεσσαλοῖς τοὺς τῶν φιλτάτων φονέας σύρειν περὶ τοὺς τῶν φονευθέντων τάφους. Σίμωνα γάρ, φησί, Θεσσαλὸν τὸ γένος, Εὐρυδάμαντα τὸν Μειδίου ἀποκτείναντα Θράσυλλον τὸν ἀδελφὸν αὐτοῦ ἄρξασθαι (ἅψασθαι cod. Leid.) τοῦ νόμου πρῶτον. Τοῦτον γὰρ ἐξάψαι τοῦ δίφρου τὸν φονέα καὶ περὶ τὸν τοῦ τετελευτηκότος τάφον ἕλκειν. Ὡς Θεσσαλὸν οὖν καὶ τὸν Ἀχιλλέα πατρίῳ ἔθει καὶ τοῦτο ποιῆσαι καὶ δῆσαι τὸν Ἕκτορα. Callimachum hæc ex Aristotele mutuasse satis probabilis est conjectura. Nec minus verisimile est, de his in Thessalorum Republica locutum fuisse philosophum, ut in Cretensium Republica de Achille pyrrhicham circa Patrocli tumulum saltanti locutus fuerat.

26 (191).

Plutarch. de Solertia animal. c. 24 : Καὶ τῶν τριχῶν τὰ καθήκοντα πρὸς τὸ ἄγκιστρον ὡς ἔνι μάλιστα λευκὰ φαίνεσθαι μηχανῶνται· μᾶλλον γὰρ οὕτως ἐν τῇ θαλάττῃ δι' ὁμοιότητα τῆς χρόας λανθάνουσι. Τὸ δὲ ὑπὸ τοῦ ποιητοῦ λεγόμενον (Il. ω, 80-82)

Ἡ δὲ μολυβδαίνῃ ἰκέλη ἐς βυσσὸν ὄρουσεν,
ἥτε κατ' ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα
ἔρχεται ὠμηστῇσιν ἐπ' ἰχθύσι κῆρα φέρουσα·

παρακούοντες ἔνιοι βοείαις θριξὶν οἴονται πρὸς τὰς ὁρμιὰς χρῆσθαι τοὺς παλαιούς· κέρας γὰρ τὴν τρίχα λέγεσθαι, καὶ τὸ κείρασθαι διὰ τοῦτο, καὶ τὴν κουράν· καὶ τὸν παρ' Ἀρχιλόχῳ « κεροπλάστην » φιλόκοσμον εἶναι περὶ κόμην καὶ καλλωπιστήν. Ἔστι δ' οὐκ ἀληθές· ἱππείαις γὰρ θριξὶ χρῶνται, τὰς τῶν ἀρρένων λαμβάνοντες· αἱ γὰρ θήλειαι τῷ οὔρῳ τὴν τρίχα βεβρεγμένην ἀδρανῆ ποιοῦσιν. Ἀριστοτέλης δέ φησι, μηδὲν ἐν τούτοις λέγεσθαι σοφὸν ἢ περιττόν, ἀλλὰ τῷ ὄντι κεράτιον περιτίθεσθαι πρὸ τοῦ ἀγκι-

---

Jovem, postquam compererit Herculem in servitute esse, id aegerrime laturum, eum obstringit firmissima necessitate.

24[b].

Cur quarto dedit omnium maximum præmium? Solvit Aristoteles talentum non habuisse definitam magnitudinem, sed majoris et minoris pretii fuisse. Nunc enim minoris est pretii quam equus, in Precibus vero majoris.

25.

Cur Achilles Hectorem circa tumulum Patroclis raptavit præter morem in illius corpus agens? An non æqualiter præter leges faciunt qui se defendunt atque qui cœperunt, Hector autem prior conatus est simili modo contumelia afficere Patroclum..... Solvi autem potest, Aristoteles inquit, et ad morem qui tunc obtinebat referri, quum nunc quoque in Thessalia raptent circa sepulcra.

26.

Setæ partes quibus uncus alligatur, quam maxime albas faciunt, ut eo facilius lateant in mari ob similitudinem coloris. Versus autem Homeri :

Illa cito, plumbi similis, petit impete fundum;
quod bovis agrestis cornu ducente sub undas
crudivoris missum mortem fert piscibus atram,

quidam sic accipiunt, ut putent veteres boum crinibus ad hamorum funiculos conficiendos fuisse usos : κέρας

στρου περὶ τὴν ὁρμιάν, ἐπεὶ πρὸς ἄλλο ἐρχόμενοι διεσθίουσι.

Ex eodem fonte quo Plutarchus scholia ad l. l. Iliadis hauserunt. Schol. B, p. 632, A, 22 : Κέρας : ὃ προσάπτουσι τῇ ὁρμιᾷ πρὸς τὸ μὴ ἐσθίεσθαι καὶ ὁμόχροον εἶναι τῇ θαλάσσῃ. Οἱ δὲ νεώτεροι κέρας τὴν συμπλοκὴν τῶν τριχῶν. Schol. V : Ὁμοίαν κέρατι· « Τὸν κεροπλάστην ἄειδε Γλαῦκον » Ἀρχίλοχος. Schol. A : Ἡ διπλῆ, ὅτι οὐ λέγει βοὸς κέρας βοὸς τρίχα διὰ τὸ τριχίνην εἶναι τὴν ὁρμιάν· λιναῖς γὰρ ἐχρῶντο.... Οἱ δὲ νῦν οὐδὲ βοείαις χρῶνται ἀλλ' ἱππείαις. Λέγοι ἂν οὖν βοὸς κέρας κυρίως· κατεσκεύαζον γὰρ σύριγγα ἐκ κέρατος βοείου, ἣν παρετίθεσαν τῇ ὁρμιᾷ ὑπὲρ τὸ ἄγκιστρον, ὅπως μὴ οἱ ἰχθύες ἀποτρώγωσι τὸ λίνον, quæ ultima leguntur apud eundem schol. ad Il. π, 408, ubi et illud : Λίνῳ : τῇ διὰ νεύρων ἢ τριχῶν ἱππείων ὁρμιᾷ· καὶ ταῦτα γὰρ λίνα φασί (corrig. φησί scil. ὁ ποιητής). Quæ hic absque nomine ponitur explicatio (eadem legitur in Etymol. M. p. 505, 16, apud Hesych. et Apollon. Lex. Hom. s. v. Βοὸς κέρας, et apud Eustathium p. 1340, 42), apud Plutarchum Aristoteli tributa, adscribitur Aristarcho in scholiis cod. Q ad Odyss. μ, 253 : Κέρας : Ἀρίσταρχος τὸ κεράτινον συρίγγιον, ὃ ἐπιτιθέασι πρὸς τὸ μὴ ἐσθίεσθαι ὑπὸ τοῦ ἰχθύος τὴν ὁρμιάν. Ἔνιοι δὲ τὴν τρίχα. Sine auctoris nomine eadem in schol. BQV ad l. l. Aristarchi nomen cum illa conjungitur apud Apollonium quoque Lex. Hom. s. v. Κέρᾳ ἀγλαέ : ὁ δὲ Ἀρίσταρχος κυρίως (eodem verbo utitur schol. A, quem vide supra, et Etym. M. l. l.) ἀκούει τὸ τοῦ βοὸς κέρας οἷον τὸ κεράτινον συρίγγιον· τὸ γὰρ παλαιὸν πρὸς τὸ μὴ ἀποτρῶξαι τὸν ἰχθὺν τῷ ἀγκίστρῳ περιτίθεσθαι τοῦτο.

27 (192).

Schol. Vict. ad Iliad. ω, 340, p. 640, A, 12 : Πέδιλα : Ἀριστοτέλης αὐτὰ πτερωτὰ οἴεται· ψευδῶς.

Conferri fortasse possunt quæ apud Eustath. ad Odyss. α, 98 annotata sunt, p. 1395, 12 : Ὅρα δὲ ὅτι οὐ φέρεσθαι τὰ πέδιλα λέγει ἀλλ' αὐτὰ φέρειν καὶ κουφίζειν τὴν Ἀθηνᾶν ὡς οἷον πτερόεντα. Pro Ἀριστοτέλης, Ἀριστοφάνης reponendum censet Rosius l. l. p. 167.

28 (193).

Schol. Vict. ad Il. ω, 420 p. 642, A, 28 : Σὺν δ' ἕλκεα πάντα μέμυκε : παράδοξον· τὰ μὲν γὰρ τῶν ζώντων ἕλκη μετὰ θάνατον μύει, τὰ δὲ μετὰ θάνατον γινόμενα σήπεται. Ib. : Ἀδύνατον νεκρῶν τραύματα μύειν, ὥς φησιν Ἀριστοτέλης εἰρηκέναι Ὅμηρον· « Μῦσεν δὲ περιβροτόεσσα ὠτειλή. » Τοῦτο δὲ τὸ ἡμιστίχιον οὐδὲ φέρεται.

Unde hæc sua habuerit Scholiasta non liquet. Notandum est præterea neque ὠτειλή nominativo casu, neque περιβροτόεσσα in nostris usquam carminibus Homericis reperiri. Spitznerus ad l. l. Iliad. ita scribi voluit : Μῦσεν δὲ περὶ βροτόεσσα ὠτειλή. E scholio longiore ad h. l. desumpta sunt quæ apud Suidam inveniuntur s. v. Μεμυκότα : κρύψαντα, καμμύσαντα ἢ κεκολλημένα, καὶ Ὅμηρός φησι τῶν ἐν πολέμῳ τρωθέντων τὰ τραύματα μὴ μύειν, μόνον δὲ τοῦ Ἕκτορος κατὰ θείαν πρόνοιαν.

29 (194).

Schol. B ad Iliad. ω, 569 (Μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσι ἐάσω), p. 646, A, 8 : Ἀριστοτέλης φησὶν ἀνώμαλον εἶναι τὸ Ἀχιλλέως ἦθος. Οἱ δέ φασιν ὅτι ἵνα ἀποστήσῃ αὐτὸν τοῦ ἐφ' Ἕκτορι θρήνου, διὰ τοῦτο δειδίσσει. Plura apud Eustathium leguntur p. 1365, 56 : Σημείωσαι δ' ὅτι Ἀριστοτέλης, ὥς φασιν οἱ παλαιοί, ἀνώμαλον εἶναι τὸ τοῦ Ἀχιλλέως ἦθος συνάγει, ὃς τὰ πρῶτα μειλιχίοις δεξιωσάμενος τὸν ἱκέτην Πρίαμον, εἶτα λεοντωθεὶς οἷον, ὡς δηλοῖ τὸ « Λέων ὣς ἆλτο θύραζε » (v. 572), διὸ καὶ νῦν ἔδεισεν ὁ γέρων, καὶ ἐπείθετο μύθῳ, ἀγριοῦται καὶ ἀπειλεῖται τὰ προρρηθέντα. Καὶ δοκεῖ μὲν ἐπίτηδες οὕτω ποιεῖν, ὡς ἂν ἐκπλήξῃ τὸν γέροντα καὶ ἀποστήσῃ τοῦ οἴκτου· τὸ δ' ἐστὶν οὐ τοιοῦτον· καὶ προϊὼν γὰρ ὁ ποιητὴς (v. 584 sqq.) ὑπολαλεῖ δέος εἶναι μή ποτε Πρίαμος μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύ-

---

enim hic esse crinem : unde κείρασθαι (*tondere*) et κουρά (*tonsura*) et κεροπλάστης dicatur ille apud Archilochum, nimirum studiosus comæ ornandæ. Sed errant hi. Nam setis equinis utebantur masculis; quum equarum caudæ urina madefactæ setas habeant invalidas. Aristoteles in his nihil ait docte aut subtiliter dictum esse : sed revera funiculo ante hamum apponi corniculum, quia pisces pervorent, si quid aliud attingant.

27.

Aristoteles falso alaria (*Mercurii scil.*) alata fuisse putat.

28.

Mortuorum vulnera claudi non possunt, ut Aristoteles refert Homerum dixisse « vulnus autem cruore circumdatum clausum est. » Hoc vero hemistichium non reperitur.

29.

Aristoteles dicit inconstans esse Achilli ingenium. Hi autem dicunt eum minis terrere Priamum ut a lamentis de Hectore avocet.

Aristoteles ut dicunt veteres inconstans esse Achilli ingenium inde concludit, quod quum primum blandis vocibus excepisset supplicem Priamum, deinde efferatus sæviat, ut illud ostendit « Tanquam leo, prosiliit foras », et minas prædictas proferat, quamobrem senex timuit et

ςαιτο παῖδα ἰδών, Ἀχιλῆι δ' ὀρινθείη φίλον ἦτορ καί ἑ κατακτείνειε, Διὸς δ' ἀλίτηται ἐφετμάς, ὅ ἐστιν ἐντολάς... ὅλως γὰρ ταράσσεται ὁ Ἀχιλλεὺς ἐνταῦθα ὡς μάλιστα, εἰ καὶ μόνον ἀκούσοι Ἕκτορος ὄνομα, ὃ δὴ καὶ Φίλιππος λέγεται πάσχειν μετὰ τὴν ἐν μάχῃ πήρωσιν... Διὸ οὐδ' ἐμφανίζει αὐτῷ τὸν υἱόν, μὴ καὶ ὁ ἐπὶ τῷ νεκρῷ οἶκτος τοῦ πατρὸς ἀναζωπυρήσῃ χόλον τῷ Ἀχιλλεῖ, ἅμα δὲ ἠοῖ φαινομένῃ ὄψεσθαι αὐτὸν λέγει. Συνάγεται δὲ τὸ τοῦ Ἀχιλλέως ἄστατον καὶ ἐν τῇ α' ῥαψῳδίᾳ καὶ ἐν ταῖς Λιταῖς.

Τὸ ὁμαλὸν in ingeniis exprimendis esse observandum, præcipit Aristoteles in libro de Poetica c. 15 § 4.

30 (195).

Strabo XIII, p. 598 : Καὶ μὴν τόγε ναύσταθμον τὸ νῦν ἔτι λεγόμενον πλησίον οὕτως ἐστὶ τῆς νῦν πόλεως (scil. Ἰλίου), ὥστε θαυμάζειν εἰκότως ἄν τινα τῶν μὲν τῆς ἀπονοίας, τῶν δὲ τοὐναντίον τῆς ἀψυχίας· ἀπονοίας μέν, εἰ τοσοῦτον χρόνον ἀτείχιστον αὐτὸ εἶχον, πλησίον οὔσης τῆς πόλεως καὶ τοσούτου πλήθους τοῦ τ' ἐν αὐτῇ καὶ τοῦ ἐπικουρικοῦ· νεωστὶ γὰρ γεγονέναι φησὶ τὸ τεῖχος· ἢ οὐδ' ἐγένετο, ὁ δὲ πλάσας ποιητὴς ἠφάνισεν, ὡς Ἀριστοτέλης φησίν· ἀψυχίας δέ, εἰ γενομένου τοῦ τείχους ἐτειχομάχουν καὶ εἰσέπεσον εἰς αὐτὸ τὸ ναύσταθμον καὶ προσεμάχοντο ταῖς ναυσίν, ἀτείχιστον δὲ ἔχοντες οὐκ ἐθάρρουν προσιόντες πολιορκεῖν μικροῦ τοῦ διαστήματος ὄντος.

In tota hac de Trojano agro disputatione secutus est Strabo Demetrii Scepsii librum Τρωϊκὸς Διάκοσμος inscriptum, cui fortasse debetur etiam testimonium ex Aristotele prolatum. Num ex Strabone hauserit Eustathius qui duobus locis verborum Aristotelis meminit dubium, quum etiam in scholiis ad Iliadem legantur. Eustath. in Iliad. p. 689 57 : Σημείωσαι δὲ καὶ ὅτι τὸ Ἑλληνικὸν τοῦτο τεῖχος ἀρέσκει τοῖς παλαιοῖς πλάσμα εἶναι Ὁμηρικόν. Τῇ γὰρ ἀληθείᾳ, φασίν, οὐ γέγονεν, ἀλλ' ἐπλάσατο τὴν πρὸς τῷ ναυστάθμῳ τειχοποιίαν, καὶ τὰ κατ' αὐτὴν ὁ ποιητὴς οὐχ ἱστορῶν πρᾶγμα γενόμενον, ἀλλ' ὡς γενόμενον ἐκτιθέμενος. Ib. p. 690 8 : Διὰ δὲ τοῦ παντελοῦς αὖθις ἀφανισμοῦ διαφεύγει τὸν τοῦ ψευδοῦς ἔλεγχον, αὐτὸς ποιήσας τὸ τεῖχος αὐτὸς ἀφανίσας, ὡς καὶ Ἀριστοτέλης δηλοῖ, ὅπου ἔφη ὅτι τὸ τεῖχος ὁ φράσας (leg. fortasse ὁ πλάσας) ποιητὴς ἠφάνισεν, cf. p. 888, 51 : Αὐτὸς τὸ τεῖχος ἐγείρας, ὡς καὶ προερρέθη, αὐτὸς καὶ ἀφανίσας καὶ καταρρίψας, ὡς παντελῶς πλάσμα ὂν αὐτοῦ, συναφανίζων τοῖς ἐρειπίοις καὶ τὸν ἐσύστερον ἔλεγχον. Quibus similia sunt quæ in Schol. BL ad Il. η, 445, præsertim vero in BLV ad Iliad. μ, 4 legimus : Τούτου γὰρ χάριν καὶ ἀνέπλασε τὴν τειχοποιίαν, ὑπὲρ τοῦ ἀγῶνας κινῆσαι ἐπὶ τῇ τειχομαχίᾳ. Ἐπὶ οὖν τοῦ Τρωϊκοῦ τείχους τοῦτο ἀμήχανον (θεοποίητον γὰρ ἦν)· ὑπὲρ δὲ τοῦ μηδὲ ταύτην καταλιπεῖν τὴν ἰδέαν, ἐπὶ τῷ τῶν Ἑλλήνων τείχει τὴν τειχομαχίαν ποιεῖ. Ἐπεὶ δὲ αὐτὸς ἀνήγειρε τὸ τεῖχος, διὰ τοῦτο καὶ ἠφάνισεν αὐτό, τὸν ἔλεγχον συναφανίζων. Hæc aperte ex eodem fonte fluxerunt. Qui tamen, utrum dialogus an Quæstiones Homericæ fuerint, dubitari licet.

31 (196).

Athenæus XIII, p. 556, D : Θαυμάσαι δ' ἄν τις, φησὶν Ἀριστοτέλης, ὅτι οὐδαμοῦ τῆς Ἰλιάδος Ὅμηρος ἐποίησε Μενελάῳ συγκοιμωμένην παλλακίδα, πᾶσι δοὺς γυναῖκας. Κοιμῶνται γοῦν παρ' αὐτῷ καὶ οἱ γέροντες μετὰ γυναικῶν, Νέστωρ (Il. λ, 626) καὶ Φοῖνιξ. Οὐ γὰρ ἦσαν οὗτοι ἐκλελυμένοι τοῖς σώμασιν ἐν τοῖς τῆς νεότητος χρόνοις ἢ διὰ μέθης ἢ δι' ἀφροδισίων ἢ καὶ διὰ τῆς ἐν ταῖς ἀδηφαγίαις ἀπεψίας, ὥστε εἰκότως ἔρρωνται τῷ γήρᾳ. Ἔοικεν οὖν ὁ Σπαρ-

---

paruit sermoni. Videtur autem id convenienter facere ut terreat senem et a lamentis avocet. Hoc vero non ita est : in sequentibus enim poeta indicat ita fieri oportere, ne Priamus filium dolenti corde conspicatus iram non contineret, Achilles vero in iram commotus ipsum interficeret, Jovisque violaret mandata... Prorsus enim quam maxime hoc loco turbatur Achilles solum audiens nomen Hectoris, quod et Philippo accidisse dicitur postquam in prœlio oculo orbatus est... Quare nec ostendit Priamo filium ne luctus in defuncti conspectu iram Achilli accendat, dicitque Priamum simul atque aurora apparuerit filium conspecturum. Inconstantiæ arguitur Achillis ingenium et in prima rhapsodia et in Precibus.

30.

Porro Naustathmus sive navium statio, quæ nunc dicitur, ita vicina est recenti Ilio, ut mirari subeat alterorum dementiam, alterorum timiditatem. Græcorum inquam vecordiam, si tanto eum tempore sine muris tenuerunt, Ilio tam propinquo, tantaque Trojanorum et sociorum multitudine in eo versante : nam sub fine demum belli factus est murus, quem Aristoteles ait ab ipso poeta ut factum, ita deletum fuisse. Timiditatem vero Trojanorum, si muro demum facto irruere et impugnare eum ac naves aggressi sunt, stationem autem muro nondum cinctam ausi non sunt invadere, non longe dissitam.

31.

Miretur vero aliquis, ait Aristoteles, quod nusquam in Iliade Menelaum cum pellice concumbentem faciat Homerus, qui tamen aliis omnibus mulieres tribuit. Concumbunt sane apud illum cum mulieribus etiam senes Nestor et Phœnix. Non fuerunt enim hi effœto corpore, vitio ex juvenili ætate contracto, sive per temulentiam,

τιάτης αἰδεῖσθαι γαμετὴν οὖσαν τὴν Ἑλένην, ὑπὲρ ἧς καὶ τὴν στρατιὰν ἤθροισε· διόπερ φυλάττεται τὴν πρὸς ἄλλην κοινωνίαν. Ὁ δ' Ἀγαμέμνων ὡς πολυγύναιος ὑπὸ Θερσίτου λοιδορεῖται·

Πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ
πρωτίστῳ δίδομεν (Il. β, 226 sq.).

Ἀλλ' οὐκ εἰκός, φησὶν ὁ Ἀριστοτέλης, εἰς χρῆσιν εἶναι τὸ πλῆθος τῶν γυναικῶν, ἀλλ' εἰς γέρας· ἐπεὶ οὐδὲ τὸν πολὺν οἶνον εἰς τὸ μεθύειν παρεσκευάσατο.

Ex Athenæo eadem brevius Eustathius in Iliad. p. 1361, 25.

32 (197).

Plutarch. De audiend. poetis c. 12 (t. III, p. 40, 2 Plutarchi op. ed. Dübner.) : Οἱ δὲ παῖδες, ἂν ὀρθῶς ἐκτρέφωνται τοῖς ποιήμασιν, καὶ ἀπὸ τῶν φαύλους καὶ ἀτόπους ὑποψίας ἐχόντων ἕλκειν τι χρήσιμον ἀμωσγέπως μαθήσονται καὶ ὠφέλιμον. Αὐτίκα γοῦν ὕποπτός ἐστιν ὁ Ἀγαμέμνων, ὡς διὰ δωροδοκίαν ἀφεὶς τῆς στρατείας τὸν πλούσιον ἐκεῖνον (τὸν Ἐχέπωλον scil. cf. Il. ψ, 296), καὶ τὴν Αἴθην χαρισάμενον αὐτῷ

Δῶρ' ἵνα μή οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν,
ἀλλ' αὐτοῦ τέρποιτο μένων · μέγα γάρ οἱ ἔδωκεν
Ζεὺς ἄφενος (Il. ψ, 277 ss.).

Ὀρθῶς δέ γε ἐποίησεν, ὡς Ἀριστοτέλης φησίν, ἵππον ἀγαθὴν ἀνθρώπου τοιούτου προτιμήσας. Οὐδὲ γὰρ κυνὸς ἀντάξιος οὐδ' ὄνου, μὰ Δία, δειλὸς ἀνὴρ καὶ ἄναλκις, ὑπὸ πλούτου καὶ μαλακίας διερρυηκώς.

Et iterum Gryllo c. 4, 8 : Τὴν δ' Αἴθην ὁ βασιλεὺς ὑμῶν ἔλαβε παρὰ τοῦ Σικυωνίου μισθὸν ἀστρατείας, ἄριστα βουλευσάμενος, ὃς δειλοῦ προετίμησεν ἀνδρὸς ἵππον ἀγαθὴν καὶ φιλόνεικον.

Cf. schol. BY ad l. l. Iliad. : Δῶρ' ἵνα μή οἱ ἕποιθ', p. 612, A, 43 Bekk. : ἀπεσέμνυνε τὴν ἵππον οὕτως αὐτὴν εὐγενίσας, ὥστε καὶ δῶρον (λύτρον V) ἀστρατείας δοθῆναι. Κρεῖττον δὲ ἡγήσατο πολεμικὴν (πολεμιστὴν V) ἵππον ὑπὲρ ἀπόλεμον ἄνθρωπον Ἀγαμέμνων. Schol. A : Χρησιμώτερον γὰρ ἐνόμιζε πολεμικὸν ἵππον ἢ ἀστράτευτον ἄνδρα λαβεῖν. Eadem Eustathius p. 1302, 10.

ΟΔΥΣΣΕΙΑ.

33 (198).

Schol. HQE ad Odyss. δ, 356 (Νῆσος... Αἰγύπτου προπάροιθε, Φάρον δέ ἑ κικλήσκουσιν, τόσσον ἄνευθ' ὅσσον τε πανημερίη γλαφυρὴ νηῦς ἤνυσεν), p. 206, 26 Dind. : τοσοῦτον γὰρ ἀπέχει Ναυκράτεως ἡ Φάρος, ἔνθα τότε τῆς Αἰγύπτου τὸ ἐμπόριον ἦν, ὥς φησιν Ἀριστοτέλης. Μέχρι Ναυκράτεως τὸ πέρας ἦν τοῦ Νείλου τότε. Καὶ Ἡρόδοτος γοῦν φησὶν ὅτι τὸ παλαιὸν τὸ κάτω μέρος τῆς Αἰγύπτου πᾶν πέλαγος ἦν, ὁ δὲ Νεῖλος πολλὴν καταφέρων ἰλὺν τὴν καλουμένην κάτω χώραν ὅλην προσέχωσεν· ὅθεν καὶ μέλαινα καλεῖται. Ὁρᾶται δὲ καὶ μέχρι νῦν κογχύλια καὶ λοπάδες. Ἐγὼ δὲ καὶ περὶ Μέμφιν εἶδον, φησὶν ὁ Πῖος (quod nomen interdum in scholiis cod. B ad Iliadem obvium, item in schol. ad Odysseam et Eustath. p. 1822, 60, semelque in Etym. M. s. v. ὠμήρησε citatum, e compendio pro Πορφύριος ortum esse probabiliter suspicatur Rosius). Cum Aristotele cf. Herod. II, 179 : Ἦν δὲ τὸ παλαιὸν μούνη ἡ Ναύκρατις ἐμπόριον καὶ ἄλλο οὐδὲν Αἰγύπτου. Plin. Hist. nat. XIII, 21, 11. Similem quæstionem tractat Aristoteles, Homeri usus testimonio, Meteorol. I, 14, § 12.

---

sive nimio Veneris usu, sive cruditatibus ex voracitate : quare merito vegeti validique sunt in senectute. Videtur igitur Spartanus, uxorem Helenam reveritus, propter quam etiam susceperat illam expeditionem, ab aliarum feminarum congressu abstinuisse. Agamemnon vero ut pluribus utens mulieribus vituperatur a Thersite :

Multi tibi sunt ænei lecti, multæque mulieres
in tentoriis sunt exquisitæ, quas tibi nos Achivi
primo omnium damus.

At non est consentaneum, ait Aristoteles, illam mulierum multitudinem fuisse ei ad concubitus usum, sed honoris causa et in præmium virtutis : nam et vini copiam non ad temulentiæ usum sibi comparaverat.

32.

Pueri in poematis recte instituti, etiam ab his quæ absurditatis et pravitatis suspecta sunt, commodi aliquid et utilitatis trahere discent. Prima fronte Agamemnon videtur avaritia ductus a divite isto Echepolo equum accepisse Ætham, ipsique militiæ vacationem concessisse,

Una ventosum ne miles ad Ilion iret :
sed se divitiis, quas illi Juppiter ampias
præbuerat, patriis in sedibus oblectaret.

Attamen recte fecit, ut ait Aristoteles, bonam equam tali viro præferens; nam neque canem, neque asinum pretio æquat timidus et imbellis, divitiis et mollitie diffluens

ODYSSEA.

33.

Aristoteles dicit Homeri temporibus solum Ægypti emporium Naucratide fuisse. Quæ ultra Naucratidem sita sunt Nili tunc erant.

34 (199).

Schol. Odyss. ε, 93 : Κέρασσε δὲ νέκταρ ἐρυθρόν, p. 251, 14 Dind. : Εἰ μηδὲν ἄλλο πίνουσιν οἱ θεοὶ ἢ τὸ νέκταρ, διὰ τί αὐτὸ ἡ Καλυψὼ τῷ Ἑρμῇ κεράσασα δίδωσιν; εἰ γὰρ κεκέρασται σὺν ὕδατι, οὐ μόνον τὸ νέκταρ ἀλλὰ καὶ τὸ ὕδωρ πίνουσιν. Καίτοι, φησί, ψιλὴν ἀμβροσίαν παρέθηκε, « Κέρασσε δὲ νέκταρ ἐρυθρόν. » Λύων οὖν ὁ Ἀριστοτέλης τὸ κέρασσε, φησίν, ἤτοι τὸ μῖξαι ἄλλο ἄλλῳ ὑγρῷ δηλοῖ, ἢ τὸ ἐγχέαι· ἄμφω γὰρ δηλοῖ τὸ κεράσαι. Νῦν οὖν τὸ « κέρασσε δὲ νέκταρ ἐρυθρὸν » οὐ τὸ μῖξαι δηλοῖ, ἀλλὰ ψιλῶς ἐγχέαι.

E Porphyrio hæc desumpta esse indicant schol. QEB, et schol. cod. Vindob. 133 apud Rosium : Κέρασε δὲ νέκταρ ἐρυθρόν : ἀντὶ τοῦ ἐνέχεεν· οὐ γὰρ κιρνᾶται τὸ νέκταρ. Εἰ οὐδὲν γὰρ ἄλλο πίνουσιν οἱ θεοὶ ἢ νέκταρ, πῶς αὐτὸ κιρνᾷ ὕδατι ἡ Καλυψώ; ἔστιν οὖν ἀντὶ τοῦ ἐνέχεεν ἀπὸ τῆς ἀρχαίας συνηθείας· εἰς κέρας γὰρ ἐγχέοντες ἔπινον. Ἢ ὅτι τὸ κέρασε κατὰ τὸν Ἀριστοτέλην, ὡς ὁ Πορφύριος λέγει, οὐ μόνον δηλοῖ τὸ μῖξαι ἄλλῳ ὑγρῷ ἄλλο, ἀλλὰ καὶ τὸ ἐγχέαι ψιλῶς. Cf. Etymol. M. p. 504 30 : Κεράσαι δ' ἐστὶ τὸ ἐπιχεῖν οἶνον ἀπὸ παλαιοῦ ἔθους· πάλαι γὰρ ἐχρῶντο κέρατι ἀντὶ προχόου. Οὕτω Πείσανδρος· καὶ Ὅμηρος Ἰλιάδος θ (189) « Οἶνόν τ' ἐγκεράσασα πιεῖν, » ἀντὶ τοῦ ἐγχέασα εἰς κέρας· πρὸ γὰρ τοῦ εὑρεθῆναι τὴν τῶν ποτηρίων χρῆσιν ἐν τοῖς κέρασιν ἔπινον. Similia Eustath. in Iliad. θ, 189, p. 707, 45 et in Odyss. l. l. p. 1525, 38.

35 (200).

Schol. TQEP (et Vind. apud Rosium) ad Odyss. ε, 334 : Ἰνὼ Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα, p. 278, 15 : Τὸ αὐδήεντα (Il. τ, 407) οὐχ ἔστι φωνὴν ἔχοντα ἀλλ' ἀνθρωπείᾳ φθεγγόμενον ὀπὶ ὡς οἱ ἄνθρωποι· καὶ ὡς παράδοξον ἐπεσημήναντο. Καὶ τὸ « Κίρκη ἐϋπλόκαμος δεινὴ θεὸς αὐδήεσσα (Od. κ, 136) » σημαίνει τὸ ἀνθρωπίνως φθεγγομένη, οὐχ ὡς θεός· διὰ σημείων γὰρ οἰωνῶν καὶ ἱερείων καὶ θυσιῶν, καὶ δι' ὀνείρων καὶ οὐχ αὐδῆς φθέγγονται οἱ θεοί. — Καὶ ἐφετμαὶ αὗται « Οἱ δ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων » (Odyss. δ. 353), τῶν θεοπροπίων λέγει. Ἡ δὲ Κίρκη « καλὸν ἀοιδιάει » (Odyss. κ, 227), ὡς ἄνθρωπος. Ζητεῖ δὲ ὁ Ἀριστοτέλης, διὰ τί τὴν Καλυψὼ καὶ τὴν Κίρκην καὶ τὴν Ἰνὼ αὐδηέσσας λέγει μόνας. Πᾶσαι γὰρ καὶ αἱ ἄλλαι φωνὴν εἶχον. Καὶ λῦσαι μὲν οὐ βεβούληται, μεταγράφει δὲ ποτὲ εἰς τὸ αὐλήεσσα, ἐξ οὗ δηλοῦσθαί φησι ὅτι μονώδεις ἦσαν· ἐπὶ δὲ τῆς Ἰνοῦς οὐδήεσσα (codd. male αὐδήεσσα)· τοῦτο γὰρ πάσαις ὑπῆρχεν αὐταῖς καὶ μόναις· πᾶσαι γὰρ αὗται ἐπὶ γῆς ᾤκουν. Μήποτε δὲ τὸ αὐδήεσσα οὐ τὸ φωνῇ μόνον χρῆσθαι δηλοῖ, ὡς τὸ « αὐδήεντα δ' ἔθηκε » (Il. τ, 407)· σημαίνει δὲ καὶ τὸ ἔνδοξον καὶ ἐπίφημον. Καὶ ἑκάστη δὲ τούτων ἔνδοξος, ὥσπερ ἡ Ἰνώ· ὅτε γὰρ ἐν ἀνθρώποις ἦν, ἔνδοξος καὶ ἐπίφημος ἐν πᾶσιν ἐτύγχανεν.

Schol. HQP ad l. l. (p. 278, 8) : Ὁ μὲν Ἀριστοφάνης τὰς ἀνθρωποειδεῖς θεὰς αὐδηέσσας φησὶν οἱονεὶ φωνὴν μετειληφυίας, ὁ δὲ Ἀριστοτέλης οὐδήεσσαν λέγει οἱονεὶ ἐπίγειον. Οὕτως καὶ Χαμαιλέων. Eustathius p. 1543, 52 : Γράφεται δὲ καὶ οὐδήεσσα, τουτέστιν ἐπίγειος. Νύμφη γὰρ ἦν καὶ οὐχ ἐκ τῶν οὐρανιώνων. Ἀριστοτέλους δέ φασι καὶ Χαμαιλέοντος (cf. Kœpke, *de Chamæleontis Heracleotæ vita et scriptis*, Berol. 1856, p. 16) ἡ τοιαύτη γραφή. Nomen Aristotelis inde in Schol. H ad Odyss. κ, 136 pro Aristarchi restituendum est (cf. Lehrs, *de Aristarchi stud. Homer.*, p. 50, et Nauck, *Aristoph. Byzant. Fragm.*, p. 41) : Αὐδήεσσα· Ἀρίσταρχος οὐδήεσσα. Schol. QBV ad eund. l. p. 457, 10 : Ἤτοι περιβόητος, ἢ εἰς διάλεξιν καὶ προσαγόρευσιν ἀνθρώποις ἐρχομένην, ἢ καθὸ ἐπίγειός ἐστιν. Cf. Eustath. ad l. l. p. 1651, 48, Etym. M. p. 169, 11.

---

34.

Si nihil aliud dei bibunt quam nectar, cur Calypso Mercurio id mixtum dat? Si enim cum aqua permixtum fuerit, non solum nectar sed et aquam bibunt. Dicit tamen poeta « puram ambrosiam apposuit, miscuitque nectar rubrum. » Solvens hanc quæstionem Aristoteles, κέρασσε, inquit, sive liquorem alii liquori miscere significat, sive infundere, utrumque enim indicat κεράσαι. Nunc autem Κέρασσε δὲ νέκταρ ἐρυθρόν, non significat miscere, sed unde infundere.

35.

Αὐδήεντα non significat eum qui vocem habet, sed qui humana voce loquitur ut homines; et ut insolens notaverunt (*Inum scilicet* αὐδήεσσαν dici). Et illud « Circe comas pulchra, veneranda dea, vocalis (αὐδήεσσα), » significat quæ loquitur humano more, non sicut deus; dii enim per auguria, victimas, sacrificia et per somnia loquuntur, non autem voce utuntur. Hæcce vero sunt præcepta (ἐφετμαί), « semper autem volebant dii nos meminisse præceptorum » de oraculis dicit. At Circe « pulchre canit », ut homo. Quærit Aristoteles cur Calypsum, Circen et Inum αὐδηέσσας (*vocales*) solas vocet Homerus; nam et ceteræ omnes vocem habebant. Quum autem difficultatem solvere non potuerit, lectionem mutat αὐλήεσσα scribens, quo indicari dicit eas solitarias fuisse; de Ino vero οὐδήεσσα quasi *terrestris*, scribit, id enim omnibus obtingebat et quidem solis, omnes enim in terra habitabant.

36 (201).

Schol. HQ ad Odyss. ι, 106 : Κυκλώπων δ' ἐς γαῖαν, p. 414, 25 : Ζητεῖ Ἀριστοτέλης πῶς ὁ Κύκλωψ ὁ Πολύφημος μήτε πατρὸς ὢν Κύκλωπος, Ποσειδῶνος γὰρ ἦν· μήτε μητρὸς, Κύκλωψ ἐγένετο. Αὐτὸς δὲ ἑτέρῳ μύθῳ ἐπιλύεται. Καὶ γὰρ ἐκ Βορέου ἵπποι γίνονται, καὶ ἐκ Ποσειδῶνος καὶ τῆς Μεδούσης ὁ Πήγασος ἵππος. Τί δ' ἄτοπον ἐκ Ποσειδῶνος τὸν ἄγριον τοῦτον γεγονέναι, ὥσπερ καὶ τὰ ἄλλα ἐξ αὐτοῦ ἀναλόγως τῇ θαλάσσῃ ἄγρια γεννᾶται ἢ τερατώδη ἢ παρηλλαγμένα;

37 (202).

Schol. HF ad Odyss. ι, 345, p. 432, 12 : Διὰ τί Ὀδυσσεὺς πρὸς τοὺς Φαίακας ἔλεγεν ὅτι τὸν Κύκλωπα ἐτύφλωσε Ποσειδῶνος υἱὸν ὄντα, οὖσι καὶ αὐτοῖς ἀπογόνοις Ποσειδῶνος; Λύων οὖν Ἀριστοτέλης φησὶν ὅτι ᾔδει ἐχθροὺς αὐτοὺς ὄντας τοῦ Κύκλωπος· ἐκβληθέντας γὰρ ὑπὸ τῶν Κυκλώπων ἐλθεῖν ἐπὶ τὴν Σχερίαν·

Οἱ πρὶν μέν ποτ' ἔναιον ἐν εὐρυχόρῳ Ὑπερείῃ,
ἀγχοῦ Κυκλώπων, ἀνδρῶν ὑπερηνορεόντων,
οἵ σφεας σινέσκοντο, βίηφι δὲ φέρτεροι ἦσαν.
Ἔνθεν ἀναστήσας ἄγε Ναυσίθοος θεοειδής,
εἷσεν δὲ Σχερίῃ, ἑκὰς ἀνδρῶν ἀλφηστάων.
(Od. ζ, 4, ss.)

Cf. Schol. Q M ad Odyss. ι, 333, p. 431, 23 : Πῶς (cod. Vindob. qui hæc habet ad ι, 315, διὰ τί) οὐκ ἐδεδίει τοὺς ἐκγόνους Ποσειδῶνος Φαίακας, τὴν πήρωσιν λέγων Κύκλωπος; Ἀριστοτέλης οὖν φησὶν ὅτι ᾔδει ἐχθροὺς ὄντας αὐτοῖς· οἵ σφεας σινέσκοντο (Od. ζ, 6). Cf. Eustath. ad l. l. p. 1653, 20 et Anecd. Paris. Crameri, t. III, p. 462, 7.

38 (203).

Schol. HFQ in Odyss. ι, 525, p. 440, 29 : Διὰ τί Ὀδυσσεὺς πρὸς τὸν Κύκλωπα οὕτως ἀνοήτως εἰς τὸν Ποσειδῶνα ὠλιγώρησε τῷ λόγῳ εἰπών,

Ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' Ἐνοσίχθων.

Ἀντισθένης μέν φησι διὰ τὸ εἰδέναι ὅτι οὐκ ἦν ἰατρὸς ὁ Ποσειδῶν, ἀλλ' ὁ Ἀπόλλων, Ἀριστοτέλης δὲ οὐχ ὅτι οὐ δυνήσεται, ἀλλ' ὅτι οὐ βουλήσεται διὰ τὴν πονηρίαν τοῦ Κύκλωπος.

39 (204).

Ibid. p. 441, 3 : Διὰ τί οὖν ὁ Ποσειδῶν ὠργίσθη, καίτοι μὴ χαλεπαίνων διὰ τὸ ἀπόφθεγμα (cf. fragm. præced.), ἀλλὰ διὰ τὴν τύφλωσιν· « Κύκλωπος γὰρ κεχόλωται ὃν ὀφθαλμοῦ ἀλάωσεν » (Od. α, 69), καὶ παμπονήρου ὄντος καὶ τοὺς ἑταίρους κατεσθίοντος; Λύων δὲ ὁ Ἀριστοτέλης φησὶ μὴ ταὐτὸν εἶναι ἐλευθέρῳ πρὸς δοῦλον καὶ δούλῳ πρὸς ἐλεύθερον, οὐδὲ τοῖς ἐγγὺς τῶν θεῶν οὖσι πρὸς τοὺς ἄπωθεν. Ὁ δὲ Κύκλωψ ἦν μὲν ζημίας ἄξιος, ἀλλ' οὐχ Ὀδυσσεῖ κολαστέος ἀλλὰ τῷ Ποσειδῶνι. Ἡ πανταχοῦ νόμιμον τῷ διαφθειρομένῳ βοηθεῖν, τῷ υἱῷ· καὶ ἦρχον ἀδικίας οἱ ἑταῖροι.

---

36.

Aristoteles quærit quomodo Cyclops Polyphemus quum neque a patre, filius enim erat Neptuni, neque a matre e genere Cyclopum esset, Cyclops factus sit. Ipse vero alia fabula solvit. Etenim Boreas gignit equos et Neptunus et Medusa mater Pegasi. (*Quæ sequuntur non videntur esse Aristotelis.*)

37.

Cur Ulysses Phæacibus dixit se Polyphemum Cyclopem, Neptuni vero filium, oculo orbasse, quum ipsi Neptuno orti sint? Ad solvendam difficultatem Aristoteles dicit Ulyssem cognitum habere illos cum Cyclope inimicitias exercere; expulsos enim a Cyclopibus in insulam Scheriam venisse :

Qui antea quidem habitabant in spatiosa Hyperæa,
prope Cyclopas, viros superbientes;
qui ipsos infestabant : viribus autem potiores erant.
Inde excitos *illos* deduxit Nausithous deo similis,
collocavitque in Scheria, procul ab hominibus cupidis.

38.

Cur Ulysses cum Cyclope agens tam imprudenter parvi fecit Neptunum hisce verbis :

Adeo haud oculum utique sanabit neque Neptunus.

Antisthenes inquit ideo factum esse, quod sciret non Neptunum sed Apollinem medendi artis esse peritum. Aristoteles autem non quia non potuerit sed quia noluerit ob pravitatem Cyclopis.

39.

Quamobrem Neptunus iratus est, etsi non succensuit ob ea quæ Ulysses dixerat sed quia Cyclopem obcæcaverat : ob Cyclopem enim irascitur, quem oculo privavit, et id licet scelestissimus fuerit et socios (*Ulyssis*) devoraverit? Ad solvendam quæstionem Aristoteles observat non eandem rationem intercedere inter liberum et servum et inter servum et liberum, neque iis qui prope ad deos accedunt et iis qui longius absunt. Cyclops itaque pœna dignus erat. Quæ vero non ab Ulysse sed a Neptuno infligi debebat. Sive omnino legitimum est succurrere illi qui clade conficitur præsertim filio; deinde socii primi injusti fuerant.

40 (205).

Eustath. in Odyss. μ, 62, p. 1712, 57, ad versus poetæ :

Τῇ μέν τ' οὐδὲ ποτητὰ παρέρχεται οὐδὲ πέλειαι
τρήρωνες, ταί τ' ἀμβροσίην Διὶ πατρὶ φέρουσιν,
ἀλλά τε καὶ τῶν αἰὲν ἀφαιρεῖται λὶς πέτρη :

οἱ δὲ παλαιοὶ οὕτω τὰ τοῦ λόγου θεραπεύουσι. Χείρων ὁ Ἀμφιπολίτης Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐρωτήσαντος, φασί, τί βούλεται παρὰ τῷ ποιητῇ τὸ τὰς περιστερὰς εἰπεῖν κομίζειν ἀμβροσίαν τῷ Διὶ καὶ τὸ ἀφαιρεῖσθαί τι αὐτὰς (τὰς πέτρας scrib. esse vidit Rosius) καὶ τῶν πελειῶν, περὶ τῶν πλειάδων εἶναι τὸν λόγον ἔφη, ἃς εἶναι μὲν ἑπτά, φαίνεσθαι δὲ ἓξ τοῖς ἐκεῖ, τῆς μιᾶς διὰ τὸ καὶ ἄλλως ἀμυδρὸν τοῦ ἀστρίου ἀφανιζομένης ὑπὸ τῶν πετρῶν. Ὡς δὲ ἡμεῖς, φησί, πελειάδων ἤτοι πλειάδων ἐπιτελλουσῶν ἀρχόμεθα θερίζειν, οὕτω καὶ θεοὶ τὴν ἀμβροσίαν κομίζεσθαι. Interpositis ex Athenæi libro XI excerptis ita pergit Eustathius : Ἀλλ' οὕτω μὲν ὁ Ἀμφιπολίτης Χείρων. Ἀριστοτέλης δέ, φασίν, ἀλληγορικῶς εἶπε δηλοῦν Ὅμηρον ἐξ ἀναθυμιάσεως τρέφεσθαι τοὺς θεοὺς ἤτοι τὰ ἄνω σώματα, ἀεροπόρον ζῷον παραλαβόντα εἰς ἔνδειξιν τῆς τοιαύτης τροφῆς. Τὸ δὲ ἀφαιρεῖσθαί τι ὑπὸ τῆς πέτρας δηλοῦν ἔφη, ὡς καὶ ἡ γῆ ἕλκει ἐκ τῆς τοιαύτης ἀναθυμιάσεως. Ἀλέξανδρος δ' ὁ βασιλεύς, διὰ τὸ δοκεῖν φύσει (ita Rosius pro φησὶ) τοὺς θεοὺς φιλοσόφους καὶ ἡδονῆς μείζους, ἀναθεῖναι τὸν ποιητὴν τὴν ἐκείνων τροφὴν τῷ ἀσθενεστάτῳ καὶ τρυφερωτάτῳ ζῴῳ, ὑφ' οὗ βραχύ τι ἂν παρακομίζοιτο.

Desumpta hæc esse patet non ex eodem fonte, unde reliqua, sed potius e ficto quodam dialogo, qui præsente Philippo inter Chironem, Aristotelem ejusque discipulum Alexandrum instituebatur. Non absimilia sunt quæ leguntur apud Dionem Chrysostomum Orat. II, in cujus fine, postquam Alexander multa disseruit, ita loquens introducitur Philippus : Οὐ μάτην, Ἀλέξανδρε, περὶ πολλοῦ ποιούμεθα τὸν Ἀριστοτέλη, καὶ τὴν πατρίδα αὐτῷ συνεχωρήσαμεν ἀνακτίζειν, Στάγειραν τῆς Ὀλυνθίας οὖσαν· ὁ γὰρ ἀνὴρ ἄξιος πολλῶν καὶ μεγάλων δωρεῶν, εἰ τοιαῦτά σε διδάσκει περί τε ἀρχῆς καὶ βασιλείας, εἴτε Ὅμηρον ἐξηγούμενος, εἴτε καὶ ἄλλον τρόπον. Ceterum quæ habet Eustathius, e Ptolemæo Hephæstione fluxisse, sive is ipse finxerit, sive ab alio acceperit, testantur quæ in Excerptis e primo libro Novæ ejus historiæ apud Photium Bibl. cod. 190 p. 147, 3 Bekk. leguntur : Διὰ τί ὁ ποιητὴς πελειάδας ἐποίησε τῆς τροφῆς τῶν θεῶν διακόνους καὶ τίνα Ἀλέξανδρος ὁ βασιλεὺς καὶ Ἀριστοτέλης εἰς τοῦτο εἶπον καὶ περὶ Ὁμήρου καὶ πελειάδων ; Cf. Hercherus, *über die Glaubwürdigkeit der neuen Geschichten des Ptolemæus Chennus*, in *Jahn's Jahrb.* 1855, p. 271.

41 (206).

Schol. Vindob. apud Ros. ad Odyss. μ., 128 (Βόσκοντ' ἠελίοιο βόες) : Ἀπόβλητον ἦν τοῖς ἀρχαίοις ἀρότην βοῦν κτείνειν. Ἔπασχε γὰρ κακῶς ἐξ ἀνθρώπων ἢ θεῶν ὅστις τοῦτο πεποίηκεν. Ὅπερ οἱ τοῦ Ὀδυσσέως φίλοι ποιήσαντες ἀπώλοντο. Ἀριστοτέλης φυσικῶς φησίν· λέγει γὰρ τὰς τριακοσίας τὸν χρόνον ἡμέρας πρὸς ταῖς λοιπαῖς. Corrupta sunt quæ in Schol. B p. 542, 4 Dind. leguntur : Ἀριστοτέλης φυσικῶς φησί· λέγει γὰρ τὰς καθ' ἡμέρας πεντήκοντα πρὸς ταῖς τριακοσίαις. In alio scholio Q (p. 542, 8) et Vind. ad versum 129, Ἑπτὰ βοῶν ἀγέλαι : Ἀριστοτέλης φυσικῶς τὰς κατὰ σελήνην ἡμέρας αὐτὸν λέγειν φησὶ τν' (τὰς ν' Vindob.) οὔσας. Τὸν γὰρ πεντήκοντα ἀριθμὸν ἑπταπλασιάσας εἰς τὸ τριακοστὸν πεντηκοστὸν περιεστάναι εὑρήσεις.

---

40.

Hac quidem neque volucres prætervolant, neque columbæ
Timidæ, quæ ambrosiam Jovi patri ferunt,
Sed etiam ex iis aliquam semper adimit lævis petra.

Veteres ita fabulam interpretantur. Chiro Amphipolita, interrogatus, ut narratur, ab Alexandro Macedonio, quid sibi velit poeta quum dicat columbas Jovi ambrosiam ferre, et aliquid illis adimere petras, dixit de Pleiadibus loqui poetam, quæ revera septem sunt, sex vero videntur esse illis qui ibi sunt (*apud Planctas scil.*), quum earum quæ et alias obscura sit a scopulis occultetur. Ut autem nos, inquit, quum Peleiades sive Pleiades surgunt messem incipimus, ita dii quoque colligunt ambrosiam. Sed ita Chiron Amphipolita. Aristoteles vero, ut ferunt, dixit Homerum ita allegorice significare deos sive quæ in loco superiore degunt corpore exhalationibus ali, et ut tale alimentum indicet animal aerium adhibet. Tolli vero aliquid a petra, id ostendit terram quoque partem istarum exhalationum adtrahere. At rex Alexander, etc.

Cur poeta finxit columbas diis alimenta ministrantes, et quæ de hac re et de Homero et de columbis Alexander rex et Aristoteles disputaverunt.

41.

Nefas erat antiquis bovem aratorem occidi : male enim dii hominesque illum habebant quicunque talia fecisset. Quare Ulyssis socii quum hoc fecissent pereunt. Aristoteles dicit naturaliter hoc explicandum esse : dicit enim triginta dies temporis præter ceteros.

Notandum est Aristotelem istos greges et præcipue boum

Eustathius, p. 1717, 33 : Ἰστέον δὲ ὅτι τὰς ἀγέλας ταύτας καὶ μάλιστα τὰς τῶν βοῶν φασὶ τὸν Ἀριστοτέλην ἀλληγορεῖν εἰς τὰς κατὰ δωδεκάδα τῶν σεληνιακῶν μηνῶν ἡμέρας γινομένας πεντήκοντα πρὸς ταῖς τριακοσίαις· ὅσος καὶ ὁ ἀριθμὸς ταῖς ἑπτὰ ἀγέλαις ἐχούσαις ἀνὰ πεντήκοντα ζῷα. Διὸ οὔτε γόνον αὐτῶν γίνεσθαι Ὅμηρος λέγει οὔτε φθοράν· τὸ γὰρ αὐτὸ ποσὸν ἀεὶ ταῖς τοιαύταις ἡμέραις μένει. Similia Schol. B ad μ, 128 et 353 et E ad α, 8. Quæ hîc tribuitur Aristoteli allegorica interpretatio, recurrit in Luciani libro de Astrologia, c. 22. Ceterum ad hanc quæstionem referendus videtur, qui quasi peculiaris citatur libri apud Anonymum titulus (in altero indice 3) Εἰ δή ποτε Ὅμηρος ἐποίησε τὰς ἡλίου βοῦς, ubi supplendum erit ἡμέρας, nisi cum Rosio pro εἰ, τί scribere mavis.

42 (207).

Schol. N ad Odyss. ν extr., p. 789 Dind. : Διὰ τί Ὀδυσσεὺς τῇ μὲν Πηνελόπῃ ἡλικίαν τε ἤδη ἐχούσῃ καὶ φιλούσῃ αὐτὸν οὐκ ἐδήλωσεν ὃς ἦν, τῷ δὲ Τηλεμάχῳ νέῳ ὄντι καὶ τοῖς οἰκέταις, τῷ μὲν συβώτῃ τῷ δὲ βουκόλῳ ὄντι; οὐ γὰρ δήπου μὴ πεῖραν ἐκείνης εἰληφώς. Ἔστι φάναι, φησὶν Ἀριστοτέλης, ὅτι τοῖς μὲν ἔδει ὡς ἂν μετέχειν μέλλουσι τοῦ κινδύνου εἰπεῖν· ἀδύνατον γὰρ ἦν ἄνευ τούτων ἐπιθέσθαι τοῖς μνηστῆρσι. Διὰ ταῦτα δὲ καὶ τῇ Εὐρυκλείᾳ ἐκκαλύπτει αὐτὸν χρησίμῳ ἐσομένῃ πρὸς τὴν θυρῶν ἀσφάλειαν καὶ τὴν θεραπαινίδων ἡσυχίαν. Πᾶσι δ' οὐχ ἅμα ἀλλὰ κατὰ τὸν δέοντα καιρὸν καὶ ἰδίᾳ ἑκάστῳ καὶ μόνῳ ἐκφαίνων, ἵνα μὴ ἐκλαλήσας τις εἰς ἕτερον τὴν αἰτίαν ἀνενέγκῃ. Κατ' ἰδίαν γὰρ καὶ πρώτῳ τῷ υἱῷ, εἶτα τῇ τροφῷ, εἶτα τῷ βουκόλῳ καὶ τῷ συβώτῃ, καὶ πρὸς οὐδένα διότι ἤδη τις ἄλλος μεμάθηκεν. Ἀλλὰ καὶ οἱ εἰδότες λανθάνειν ἀλλήλους σπουδάζουσιν. Ἔστι δὲ εἰπεῖν καὶ ὅτι ηὐλαβήθη μὴ περιχαρὴς ἀκούσασα γένηται καὶ ἐπίδηλον ποιήσῃ. Ἑώρα γὰρ αὐτὴν σφόδρα ἐπιθυμοῦσαν. Οὐκοῦν καὶ ὁ υἱός; Ἀλλ' ὁ μὲν καὶ μειδιᾶν εἴωθε καὶ ἁπλῶς διαλέγεσθαι καὶ κρατεῖν τοῦ πάθους, ἡ δὲ μόνον κλαίειν. Παυσαμένης οὖν τοῦ κλαίειν μόνον, εἰ καὶ μηδεὶς ἐξεῖπεν, ὑποψία τις ἐγένετο. Οὐ γὰρ ἂν προσεποιήθη δακρύειν. Ἡ γὰρ χαρὰ ὑποῦσα οὐκ ἂν κρατεῖν τῆς ποιήσεως εἴασεν. Ἴσως δὲ καὶ μὴ σῶσαι τινὰς βουληθεῖσα ὑπείδετο. Ἑώρα γὰρ καὶ ἑαυτὸν πεπονθότα τοῦτο πρός τινας, ὥστε καὶ τῷ Ἀμφινόμῳ ἐπαρρησιάσατο. Εἶχε δέ που κἀκεῖνα ἐν μνήμῃ ἃ Ἀγαμέμνων συνεβούλευσε·

> Τῷ νῦν μή ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι·
> μή οἱ μῦθον ἅπαντα πιφαυσκέμεν, ὅν κ' εὖ εἰδῇς
> (Odyss. λ, 441 s.).

Καὶ πάλιν ἐπάγει·

> Ἀλλ' οὐ σοί γ', Ὀδυσεῦ, φόνος ἔσσεται ἔκ γε γυναικός
> (v. 444).

Ἀλλ' αὖθι παρακελεύεται·

> Κρύβδην, μηδ' ἀναφανδά, φίλην ἐς πατρίδα γαῖαν
> νῆα κατισχέμεναι (v. 455 s.).

Καὶ διὰ τοῦτο... παρακελεύεται Ὀδυσσεύς·

> Μήτ' οὖν Λαέρτης ἴστω τόδε μήτε συβώτης
> μήτε τις οἰκήων, μήτ' αὐτὴ Πηνελόπεια,
> ἀλλ' οἶοι σύ τ' ἐγώ τε (Il, 302 ss.).

allegorice interpretari de duodecim mensibus lunariis trecentos et quinquaginta dies efficientibus, qui idem numerus et septem gregum est, quorum singuli quinquaginta habent capita. Quare illis neque prolem neque interitum esse dicit Homerus, totidem enim semper isti sunt dies.

42.

Galen. De simpl. medic. I, 19, t. XI, p. 413 : Ἐπὶ δὲ τὰ λοιπὰ τῶν ὑγρῶν φαρμάκων ἤδη μεταβαίνωμεν, ὧν ἐν τοῖς μάλιστα περὶ ὄξους ἠμφισβήτηται, τῶν μὲν ψυχρὸν εἶναι λεγόντων αὐτό, τῶν δὲ θερμόν, ἐνίων δὲ τινὰ μὲν θερμότητα διδόντων αὐτῷ, τινὰ δ' ἀφαιρουμένων, ὥσπερ οἱ λέγοντες οἶνον τεθνεῶτα καὶ νεκρὸν εἶναι τὸ ὄξος· οὗτοι γὰρ ἀπολωλεκέναι μὲν αὐτό φασι τὴν οἰκείαν οἴνου θερμότητα, σηπεδονώδη δέ τινα προσειληφέναι. — Ib. IV, 3, p. 629 : Ἔτι δὲ τούτων μᾶλλον ἐπὶ ὄξους θαυμάζουσιν (οἱ πλεῖστοι τῶν τὰ τοιαῦτα ζητησάντων scil.), εἰ τολμῶμεν αὐτὸ λέγειν ἀπολωλεκέναι μὲν τὴν ἔμφυτον τοῦ οἴνου θερμότητα, τὴν δ' ἐκ σήψεως ἔχειν, ὅπερ δὴ καὶ Ἀριστοτέλει καὶ Θεοφράστῳ δοκεῖ· τὰ μὲν γὰρ οἰνώδη μόρια τοῦ οἴνου κατὰ τὴν εἰς ὄξος μεταβολὴν ἀποψύχεται, τὸ δ' ὑδατῶδες περίττωμα σηπόμενον ἐπίκτητόν τινα ἴσχει θερμότητα, ὥσπερ καὶ τἄλλα πάντα τὰ σαπέντα. Καὶ γίγνεται σύνθετόν τι τὸ ὄξος ἐξ ἐναντιωτάτων ταῖς δυνάμεσι μορίων, τῶν μὲν ἀπεψυγμένων, τῶν δὲ θερμῶν, ὥσπερ αἱ τῶν καυθέντων ξύλων τέφραι πᾶσαι. Καὶ γὰρ ἐν ἐκείναις τὸ μὲν οἷον ἐμπύρευμα κατὰ μικρὰ μόρια παρέσπαρται, καὶ τοῦτο μὲν ἱκανῶς ἐστι θερμόν, τὸ δ' ἄλλο πᾶν γεῶδές τε καὶ ψυχρόν. Καὶ διὰ τοῦτο ἐπειδὰν ὕδατι βραχεῖσα τέφρα διά τινων σωμάτων ἀραιῶν συμμέτρως ἠθῆται, συναποφέρεται μὲν ἐν τῷδε τὰ θερμὰ καὶ δριμέα μόρια, τὸ δ' ὑπόλοιπον οὐκέτι θερμόν ἐστιν ἐναποθέμενον τῷ ὕδατι τὰ πυρώδη μόρια. Καλοῦσι δὲ τὸ τοιοῦτον ὕδωρ οἱ ἄνθρωποι κονίαν, ἀνάλογον τῇ θαλάττῃ καὶ ἅλμῃ, διαθέσεως καὶ γενέσεως ἕνεκα καὶ δυνάμεως. Ἐκεῖνα μὲν γὰρ ἐξ ὕδατος καὶ ἁλῶν σύγκειται, τὸ δὲ περιπλῦνον ὕδωρ τὴν τέφραν σύνθετον ἐξ αὐτοῦ καὶ ὧν ἐπηνέγκατο μορίων γενόμενον οὕτως ἀπειργάσατο τὴν ὀνομαζομένην κονίαν, ἣν εἰ μὴ φθάνοντες ἐγινώσκομεν, ὡς ἐξ ὕδατός τε καὶ τῶν αἰθαλωδῶν μορίων τῆς τέφρας ἐγένετο, τάχ' ἂν ὑπελαμβάνομεν ἁπλοῦν καὶ ἀσύνθετον ὑπάρχειν σῶμα. Τοιοῦτον γάρ τι κἀπὶ τοῦ ὄξους πεπόνθαμεν, οὐ δυνάμενοι δι' αἰ-

---

sam sermo scrutabitur, propter quam vinum natura frigidum et invalidum ab extrinseco arguatur calore. Quanquam per verbum arguatur jam dictum omnes prius dictæ ambiguitates dissolvantur. Persimile enim quid vinis accidit, quæ natura frigidiora aquosioraque sunt, quale flammis exiguis et imbecillis, quippe si eas ad solem fervidum exponas aut prorsus obscurari aut denique etiam exstingui conspicies. Sic quoque si ardentem lucernam aut juxta flammam vehementem magnamque deponas, aut ad solem fervidum exponas, marcescere utique ac dissipari protinus videbis, quin etiam si validius ventilaveris infirmam parvamque flammam, citius eam exstinxeris quam inauxeris, natura enim infirma validum neque motum neque calorem sustinet, verum ab iis dissipatur potius quam augetur.... At Theophrastus atque Aristoteles experientiam etiam ulteriorem nacti et in perscrutandis naturæ rationibus exercitatiores ac diligentius omnia distinguentes, cum multa hujusmodi tum vero de vinis nos docuerunt, quod simile illis ac corporibus nostris accidat. An non enim et ipsa quoque, prout aut robusta sunt aut imbecilla, ab iisdem tum juvari tum lædi conspicimus? Etenim ut exercitia valida et sol calida atque robusta corpora etiam validiora efficiunt, prosternunt autem et digerunt refrigerantque quæ non sunt ejuscemodi, sic vina natura calida motus velut ventilans, sol excalefaciens, flammæque juxta ardentes celerius concoquunt. Quæ vero frigidiora sunt et dilutiora, eorum arguunt omnia id genus imbecillitatem celeriusque perpeti cogunt quæ alioqui post passura essent. Quippe quum ita comparatum sit, ut res quælibet in propria servetur natura calore proprio, corrumpatur autem ab immoderatione extrinseca, nempe caloris alieni aut frigoris abundantia.

13.

Sed ad reliqua nunc liquidorum medicamentorum transibimus, inter quæ vel maxima est controversia de aceto, aliis frigidum, aliis contra calidum adstruentibus : nonnullis calorem quidem quendam illi concedentibus, sed quendam etiam auferentibus, velut qui acetum vinum esse mortuum asserunt. Nam hi propriam vini ca-

σθήσεως ἰδεῖν τὴν γένεσιν, ἀπιστοῦμεν τῷ λόγῳ. — Ib. IV, 12, p. 657 : Διενήνοχε μέντοι τὴν δύναμιν κατὰ τοσόνδε ὄμφακος χυλὸς ὄξους, ὅτι τῷ μὲν ὄξει προσέρχεταί τις ἐκ σηπεδονώδους θερμότητος δριμύτης· καὶ διὰ τοῦτο καλῶς ἔλεγεν Ἀριστοτέλης αὐτῷ (corrig. pro αὐτὸ) τὸ μὲν οἰκεῖον τοῦ οἴνου θερμὸν ψυχρὸν ὑπάρχειν, τὸ δ' ἐπίκτητον θερμόν.

14 (327).

Galen. De simpl. medic. I, 26, t. XI, p. 426 : Δι' αὐτὸ γὰρ δὴ τοῦτο καὶ πόρρωθεν ἄρχεσθαι τῆς τῶν δυνάμεων ἐξετάσεως ἐκώλυον, ὅτι περιπίπτειν ἀναγκαῖόν ἐστι φυσικοῖς προβλήμασιν οὐ σμικρὰς ἔχουσιν ἀπορίας· ἡμῖν δὲ νῦν οὐχ ὡς φυσικοῖς ἀνδράσι πρόκειται πάντων τῶν πραγμάτων τὰς αἰτίας ἐξευρίσκειν, ἀλλὰ τὰς δυνάμεις τῶν φαρμάκων ἐπιγνῶναι... p. 427 : Ἐπειδὰν πρῶτον εὕρωμεν τὸ πρὸς αὐτῶν χρηστόν, ἀποχωρεῖν δεῖ προβλημάτων φυσικῶν, ἀπορίας ἐχόντων συχνάς. Ὑπὸ τίνος γὰρ κράσεως ἐν τῷ καθόλου πέφυκεν ὀξύτης καὶ γλυκύτης καὶ πικρότης ἁλυκότης τε καὶ αὐστηρότης καὶ δριμύτης ἑκάστη τε τῶν ἄλλων ποιοτήτων γίγνεσθαι, καὶ αὐτοῖς τοῖς φυσικοῖς ἀνδράσι ζητοῦσιν ἀπορίαι μέγισταί τε καὶ πάμπολλαι κατὰ τοὺς λόγους ἀναφαίνονται. Ταύτας οὖν ἐγὼ φυλάττεσθαι παραινῶ καθάπερ τινὰ κρημνόν, ἔχοντάς γε λεωφόρον ὁδόν, ᾗ κρίνειν ἐγχωρεῖ τὰ φάρμακα... c. 30, p. 434 : Ἐπεὶ πόθεν, ὦ πρὸς θεῶν, ὅτι θερμόν ἐστι τὸ πῦρ ἴσμεν, ἐκ τίνος συλλογισμοῦ μαθόντες ἢ διὰ ποίας ἀποδείξεως πιστωσάμενοι ; πόθεν δ' ὅτι ψυχρὸς ὁ κρύσταλλος ἄλλοθεν ἢ ἐκ τῆς αἰσθήσεως ἐμάθομεν ; εἶτά τις ταύτην ἐάσας ἀναπίμπλησι τὰ βιβλία προβλημάτων φυσικῶν. Ἦ οὐκ ἐξ ἐκείνων ἐστὶ καὶ τὸ διὰ τίνα αἰτίαν ἀναζυμοῖ τὴν γῆν τὸ ὄξος ; ἔνεστι γὰρ οἶμαι λέγειν ἡμῖν ὡς ἀγνοοῦμεν, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν τοιούτων προβλημάτων. Ἢν δέ τις ἐκ προχείρου λαμβάνῃ, διότι θερμὸν ἢ διότι ψυχρόν, ἑκάτερα γὰρ λέγουσιν, εἰς ἀμφισβητουμένους καὶ εἰς ἀσαφεῖς ἑαυτὸν ἐμβάλλει λόγους. Talium deinde problematum exempla affert l. II, c. 5, p. 474 : Δέον δὲ ὥσπερ ὁ Ἀριστοτέλης καὶ Θεόφραστος ἕτεροί τέ τινες ἄνδρες φιλόσοφοι τὰ τοιαῦτα τῶν προβλημάτων ἐν τοῖς φυσικοῖς ζητήμασι προβάλλουσί τε καὶ

---

liditatem perdidisse quidem, verum putredinosam assumpsisse aliam quandam contendunt.... Imo multo magis mirantur harum rerum studiosi, si de aceto audeamus dicere, ipsum ingenitam vini caliditatem perdidisse, ceterum ex putredine aliam adeptum, cujus sane sententiæ est cum Aristoteles tum Theophrastus. Nam vinosæ vini partes, dum ipsum in acetum transit, refrigerantur, at aqueum excrementum putrescens adscititiam caliditatem obtinet, velut cetera omnia quæ putrescunt, fitque acetum quiddam ex contrariæ facultatis partibus compositum, partim refrigerantibus partim calidis, sicuti ustorum lignorum omnes cineres. Etenim in illis aliquid veluti fomes quidam igneus per exiguas partes dispersum est, quod et valde calidum est, reliquum omne cum terreum est tum frigidum. Idcirco quum cinis aqua maceratur, ac per quædam corpora modice rara colatur, fit ut calidæ acresque partes una ferantur; reliquum quod est, non amplius calidum est, nempe quod igneas suas particulas in aquam deposuerit. Vocatur talis aqua lixivium, idque proportione quadam aquæ marinæ et muriæ, dispositionis, generationis et facultatis ergo respondet, illa enim ex aqua saleque constant, at aqua quæ cinerem abluit, cum ex ipsa tum e partibus quas secum rapuit composita hoc pacto effecit nominatum lixivium, quod nisi antea scias ex aqua et fuliginosis cineris partibus esse effectum, forsitan simplex et incompositum esse corpus existimes. Ejusmodi quiddam in aceto nobis evenit. Nam quum nequeamus sensu cernere ipsius generationem, rationi diffidimus.... Diversis tamen hactenus viribus uvæ acerbæ succus acetumque constant, quod aceto accedat ex putrido calore acrimonia quædam, proinde Aristoteles recte dixit, acetum proprio quidem vini calore esse frigidum adscititio calidum.

14.

Nam ob id ipsum procul ordiendam facultatum explorationem prohibuimus, quia in naturalia incidere problemata necesse est, eaque non levibus ambiguitatibus perplexa. Nobis autem haud statutum nunc est, sicut iis qui naturam rerum scrutantur, omnes omnium rerum causas exquirere, verum medicaminum facultates cognoscere.... Ubi primum quod ab illis utile est invenerimus, a physicis problematis recedendum est, quæ innumeris dubitationibus sunt intricata; quippe quum in qua in universum temperatura, aciditas, dulcedo, lentor, amaritudo, salsedo, austeritas, acrimonia et aliarum qualitatum singulæ provenire sunt natæ, physici viri scrutari nituntur, hæsitationes cum plurimæ tum maximæ in rationibus exsistere solent. Has ego non secus vitandas censeo quam quædam præcipitia, quum præsertim ad manus sit via regia, qua medicamenta judicare liceat... Nam per deos, undenam scimus ignem esse calidum, aut quo syllogismo docti, aut qua demonstratione persuasi ? tum unde glaciem frigidam esse didicimus nisi ex sensu ? Ac postea reperiantur qui ipso sensu neglecto physicis problematis libros impleant? At non illo ex genere est, quam ob causam acetum terram fermentet ; licet enim nobis dicere, quod nos lateat sicut talium problematum pleraque. Si vero quis prompte dicat, quia aut calidum sit aut frigidum, utrumque enim dicunt, in ambiguas obscurasque rationes se ipsum conjiciunt... Debebat tamen (Diocles scil.), sicut Aristoteles et Theophrastus aliique non pauci philosophi ejus-

λύουσι, καὶ αὐτὸς (ὁ Διοκλῆς scilicet, de quo cf. p. 472 s.) εἴπερ ἐβούλετο τὰς αἰτίας ἁπάντων τῶν γιγνομένων ζητεῖν, ὁμοίως ἐκείνοις προβάλλειν τε καὶ λύειν κτἑ.

15 (328).

Plutarch. de Pythiæ Oracul. c. 3 : Δι' ἣν αἰτίαν μάλιστα τῶν ὑγρῶν ἀναπίμπλησιν ἰοῦ τοὔλαιον... Σκόπει δέ, εἰ βούλει, καὶ τὴν ὑπὸ Ἀριστοτέλους αἰτίαν λεγομένην. Ἀλλὰ βούλομαι, εἶπε. Φησὶ τοίνυν τῶν μὲν ἄλλων ὑγρῶν πιόντα διέχειν ἀδήλως καὶ διασπείρεσθαι τὸν ἰόν, ἀνωμάλων καὶ μανῶν ὄντων· τοῦ δ' ἐλαίου τῇ πυκνότητι στέγεσθαι, καὶ διαμένειν ἀθροιζόμενον. Simile est quod in Problematum ineditorum sectione III, 17 legitur, neque tamen hoc Plutarcho ante oculos obversatum fuisse puto.

16 (329).

Plutarch. Quæst. conviv. VII, 3, 3 : Ἐδόκει δὲ πρὸς τοῦτον ὑπεναντιοῦσθαι τὸν λόγον (ex quo scil. τοὔλαιον οὐδὲ τῷ ἀέρι δίδωσιν ἀνάμιξιν, ἀλλ' ἀποστατεῖ, διὰ λεπτότητα τῶν μορίων καὶ συνέχειαν) Ἀριστοτέλης, τετηρηκώς, ὥς φησιν, εὐωδέστερόν τε γινόμενον καὶ βέλτιον ὅλως τὸ ἐν τοῖς ἀποκενουμένοις ἀγγείοις ἔλαιον· εἶτα τῷ ἀέρι τὴν αἰτίαν τῆς βελτιώσεως ἀνατίθησι· πλείων γάρ ἐστι καὶ κρατεῖ μᾶλλον εἰς ἀποδεὲς κατερχόμενος τὸ ἀγγεῖον. Ἀποκενουμένοις Wyttenbach. e conjectura; codd. ἀποκειμένοις.

17 (330).

Galen. De simpl. medic. XI, proœm., t. XII, p. 163 : Μεταβήσομαι δ' ἐπὶ τὸ δεύτερον ἤδη σκέμμα... οἱ μὲν γὰρ πλεῖστοι νομίζουσι τὰ καυθέντα πάντα ψυχρότερα γίγνεσθαι σφῶν αὐτῶν, ἔνιοι δὲ ἔμπαλιν αὐξάνεσθαι τὴν θερμασίαν οἴονται τῶν καυθέντων ἁπάντων. ἁμαρτάνοντες ἑκάτεροι... p. 164 : Τὰ μὲν οὖν δριμέα πολὺ τῆς θερμότητος ἀπόλλυσι καυθέντα, τὰ δὲ μὴ τοιαῦτα προσλαμβάνει, τελέως δὲ ψυχρὸν οὐδὲν τῶν καυθέντων ἐστίν. Ἐγκαταλείπεται γὰρ αὐτοῖς οἷον ἐμπύρευμά τι· καὶ γὰρ προσηγόρευεν οὕτως Ἀριστοτέλης αὐτό· καὶ τοῦτ' ἐστὶ τὸ κατὰ τὰς πλύσεις ἀπορρυπτόμενον. Ἔστι δὲ τὸ λεπτομερέστατον τῆς τῶν καυθέντων οὐσίας, οὗ συναπελθόντος τῷ ὕδατι τὸ λοιπὸν τοῦ καυθέντος οὐσία γεώδης ἐστί· τὸ μὲν γὰρ ὑγρὸν ἅπαν ἡ καῦσις ἐκδαπανᾷ, τὸ δ' ὑπολειπόμενον γεῶδές ἐστιν ἅμα τῷ πρὸς Ἀριστοτέλους ἐμπυρεύματι κληθέντι. Τοῦτ' οὖν ὅταν τις ἀφέληται καὶ χωρίσῃ τῇ πλύσει, τὸ μὲν ὕδωρ ᾧ τὸ φάρμακον ἐπλύθη, θερμὴν δύναμιν ἐπεκτήσατο λεπτομερῆ, τὸ δ' ὑπόλοιπον γίνεται γεῶδες ψυχρὸν ξηραίνειν ἀδήκτως δυνάμενον. Nusquam, quod sciam, vocabulum ἐμπύρευμα, quod et in sequenti fragmento legitur, apud Aristotelem occurrit. Locus adscribendus est in H. Steph. Thesauro.

18 (331).

Galen. De simpl. medic. IV, 11, t. XI, p. 653 : Ἅπαντα δὲ τὰ γλυκέα τῇ μὲν θερμότητι πλησίον ἥκει τῶν σωμάτων οἷς φαίνεται γλυκέα, κατὰ διττὸν δὲ τρόπον, ὡς εἴρηται, γίνεται τοιαῦτα· τινὰ μὲν οἰκείῳ θερμῷ καθάπερ τὸ μέλι, τινὰ δ' ἐπικτήτῳ καθάπερ ἅπαντα τὰ διὰ πυρὸς σκευαζόμενα. Καὶ διὰ τοῦτό περ, ἄχρις ἂν ᾖ θερμά, μέχρι τοσοῦδε καὶ ἡδίω φαίνεται τοῖς ἀναθρέψεως δεομένοις. Ἔοικε δὲ καὶ τὸ γλεῦκος οὐχ οἰκείᾳ μόνον ἀλλὰ καὶ ἐπικτήτῳ θερμασίᾳ φαίνεσθαι γλυκύ· πολὺ γάρ, ὡς καὶ Θεόφραστος καὶ Ἀριστοτέλης ἔλεγε, τὸ ἐκ τῆς ἡλιακῆς θερμασίας οἷον ἐμπύρευμά τι ταῖς τε ῥαξὶ καὶ τοῖς ἄλλοις ὑπάρχει καρποῖς, ὑφ' οὗ τὸ ὑδατῶδες ἐν αὐτοῖς ἔτι καὶ

---

modi problemata in quæstionibus et proponunt et solvunt, ipse quoque, si quidem omnium rerum quæ fiunt causas scrutari voluit, perinde ut illi uti proponere, sic quoque solvere.

15.

Cur de omnibus humoribus oleum maxime ærugine oppleat ?... Aristoteles tradit æruginem reliquis humoribus incidentibus obscure elucere et dissipari, quod ii sint inæquales, neque partes una maneant : olei autem densitate eam cohiberi atque colligi.

16.

Aristoteles dicit se observavisse oleum in vasis quæ sensim vacuantur, odoratius fieri et omnino melius : deinde aeri causam, quod reddatur melius, adscribit : est enim largior magisque prævalet si subeat in vas non repletum.

17.

Transibo vero ad secundam speculationem... Nam plerique existimant combusta omnia se ipsis effici frigidiora, alii e contra combustorum omnium augeri caliditatem existimant, utrique sane falluntur.... Igitur acria multum caloris amittunt usta, at quæ ejusmodi non sunt, assumunt. Sane combustorum omnium nullum plane est frigidum, relinquuntur enim in illis velut reliquiæ quædam ignis, nam ita vocabat Aristoteles. Atque id est, quod per ablutiones detergitur ex combustorum substantia subtilissimum, quod ubi cum aqua abierit, quod usti reliquum est, substantia terrena est, siquidem humidum omne combustio absumit, reliquum autem terrenum est una cum empyreumate ab Aristotele vocato. Hoc ergo ubi per lotionem ablatum ac semotum fuerit aqua in qua medicamentum ablutum est calidam adscivit facultatem, eamque tenuium partium, quod reliquum vero est, terrenum simul et frigidum est, desiccare citra mordacitatem potens.

οἷον ἡμίπεπτον εἰς πέψιν ἄγεται καὶ κατεργάζεται τῷ μεταβάλλοντι συνεξομοιούμενον, ὥστε κἂν ἀποθλίψῃς τὸν χυλὸν ὀπώρας ἡστινοσοῦν, εὑρήσεις μὲν εὐθέως ζέοντα καθάπερ τὸ γλεῦκος, ἐν δὲ τῷ μᾶλλόν τε καὶ ἧττον διαφέρουσαν τὴν ζέσιν εἰς ὅσον ἂν καὶ ὁ καρπὸς τοῦ καρποῦ διαφέρει θερμότητος. Μεταβληθέντος δὲ καὶ κατεργασθέντος τοῦ ὑδατώδους τε καὶ ἡμιπέπτου καὶ τῆς τὴν ζέσιν ἐργαζομένης θερμασίας διαπνευσάσης, αἱ τῶν χυλῶν οἰκεῖαι φαίνονται ποιότητες εἰλικρινεῖς. Cf. Arist. Problem XXII, 8 et Meteorol. IV, 8.

19 (332).

Pseudo-Julianus Epist. XXIV, p. 33 ed. Heyler : Σῦκον δὲ οὐχ αἰσθήσει μόνον ἡδὺ ἀλλὰ καὶ ἀναδόσει χρεῖττόν ἐστιν. Οὕτω δέ ἐστιν ἀνθρώποις ὠφέλιμον, ὥστε καὶ ἀλεξιφάρμακον αὐτὸ παντὸς ὀλεθρίου φαρμάκου φησὶν Ἀριστοτέλης εἶναι καὶ τοῖς δείπνοις οὐκ ἄλλου τινὸς ἢ τούτου χάριν τῶν ἐδεσμάτων προτίθεσθαί τε καὶ ἐπιτραγηματίζεσθαι, καθάπερ ἀντ' ἄλλης τινὸς ἀλεξήσεως ἱερᾶς ταῖς τῶν βρωμάτων ἀδικίαις περιπτυσσόμενον. Καὶ μὴν ὅτι θεοῖς τὸ σῦκον ἀνάκειται καὶ θυσίας ἐστὶν ἁπάσης ἐπιβώμιον καὶ ὅτι παντὸς λιβανωτοῦ χρεῖττον ἐς θυμιάματος σκευασίαν ἐστίν, οὐκ ἐμὸς ἴδιος οὗτος ὁ λόγος, ἀλλ' ὅστις τὴν χρείαν αὐτοῦ ἔμαθεν οἶδεν ὡς ἀνδρὸς σοφοῦ καὶ ἱεροφάντου λόγος ἐστί. Θεόφραστος δὲ ὁ καλὸς ἐν γεωργίας παραγγέλμασι (cf. de Caus. plant. I, 6, Hist. Plant. II, 5, 4) τὰς τῶν ἑτεροφύτων δένδρων γενέσεις ἐκτιθεὶς καὶ ὅσαι ἀλληλούχοις ἐγκεντρίσεσιν εἴκουσι, πάντων οἶμαι τῶν φυτῶν μᾶλλον ἐπαινεῖ τῆς συκῆς τὸ δένδρον. E Juliano desumpta videntur quæ habet Suidas s. v. Σῦκον· τὸ σῦκον καὶ μόνον ἀλεξιφάρμακόν ἐστι.

20 (333).

Schol. Aristoph. Vesp. v. 145 : Καὶ ὅτι ὁ ἐκ τῶν συκίνων ξύλων καπνὸς δριμύτατος, καὶ Ἀριστοτέλης φησὶν ἐν Προβλήματι (-μασι?).

Cf. Theophrast. de Igne 72, Hist. plant. V, 9, 5. In errorem fortasse delapsus est auctor scholii, quum apud Aristotelem Probl. XX, 18, hæc legantur : Δηλοῖ δὲ καὶ ὁ ὀπὸς (τῆς συκῆς scil.) πάντων δριμύτατος ὤν, καὶ ὁ πολὺς καπνός.

21 (334).

Plutarch. de Iside et Osir. c. 79 : Καὶ γὰρ οἱ ἰατροὶ πρὸς τὰ λοιμικὰ πάθη βοηθεῖν δοκοῦσι φλόγα πολλὴν ποιοῦντες ὡς λεπτύνουσαν τὸν ἀέρα. Λεπτύνει δὲ βέλτιον, ἐὰν εὐώδη ξύλα καίωσιν, οἷα κυπαρίττου καὶ ἀρκεύθου καὶ πεύκης... Ἀριστοτέλης δέ φησι καὶ μύρων καὶ ἀνθέων καὶ λειμώνων εὐώδεις ἀποπνοίας οὐκ ἔλαττον ἔχειν τοῦ πρὸς ἡδονὴν τὸ πρὸς ὑγίειαν, ψυχρὸν ὄντα φύσει καὶ παγετώδη τὸν ἐγκέφαλον ἠρέμα τῇ θερμότητι καὶ λειότητι διαχεούσας.

Simillima sunt quæ leguntur apud ipsum Aristotelem de Sensu c. 5, t. III, p. 486, 8 ss. Cf. Plutarch. Quæst. conviv. III, 1, 3 : Ἐνίων δ' ἀνθῶν ὀσμαῖς ἄνω σκιδναμέναις περὶ τὸν ἐγκέφαλον, οἵ τε πόροι τῶν αἰσθητηρίων ἐκκαθαίρονται, καὶ λεπτύνεται τὰ ὑγρὰ πρᾴως ἄνευ πληγῆς καὶ σάλου τῇ θερμότητι διακρινόμενα, καὶ φύσει ψυχρὸς ὢν ὁ ἐγ-

18.

Ceterum dulcia calore proxime accedunt ad ea, quibus apparent dulcia. Fiunt autem talia, ut dictum est, bifariam : quædam proprio calore, ut mel, quædam adscititio, ut sunt omnia quæ ab igne præparantur, ac proinde dum calida sunt suaviora illis, quibus opus est instauratione, apparent. Porro mustum non suo modo, sed et acquisititio calore dulce esse videtur. Multum enim ceu ardoris vestigia, ut Aristoteles et Theophrastus censuere, ex solari calore tum acinis tum aliis inest fructibus, a quo id quod illis aqueum ac velut etiamnum semicoctum reliquum est ad concoctionem ducitur conficiturque, ac transmutanti simile redditur. Nam ex quibuscunque pomis, si succum exprimas, eum protinus non secus atque mustum fervere deprehendes, tanto tamen fervoris discrimine, quanta erit unius fructus ab alio in calore diversitas. Sed ubi jam quod aquosum ac semicoctum erat transmutatum fuerit atque confectum, et is qui fervorem concitabat calor evanuerit, jam tum denique quæ propriæ sunt succorum proprietates sinceræ conspiciuntur.

19.

At ficus non solum sensu est dulcis, verum etiam digestione antecellit. Jam adeo utilis hominibus est, ut præsidium ad quævis venena salutare Aristoteli videatur; ac mensis etiam inchoandis et claudendis non ob aliam causam adhiberi : tanquam hoc unum pro omnibus sacrum remedium adversus ciborum injurias exhibeatur. Enimvero diis ficum consecrari, omnibusque aris adhiberi, et quovis thure ad odores aptiorem esse, non mea est oratio, sed quisquis usum ejus didicit, a sapiente aliquo homine, sacrorumque antistite, manasse intelligit.

20.

Aristoteles dicit in Problemate fumum e ficulneo ligno acerrimum esse.

21.

Aristoteles affirmat, unguentorum, florum pratorumque suaves fragrantias non minus ad sanitatem facere, quam ad voluptatem : quod eæ cerebrum natura frigidum et ad concretionem proclive sensim suo calore et lævitate relaxent.

κέφαλος ἀναθάλπεται et Clement. Alex. Pædagog. II, 8, 71.

22 (335).

A. Gellius Noct. Att. III, 6 : *Per hercle rem mirandam Aristoteles in septimo Problematorum et Plutarchus in octavo Symposiacorum dicit. Si super palmæ, inquiunt, arboris lignum magna pondera imponas ac tam graviter urgeas oneresque ut magnitudo oneris sustineri non queat, non deorsum palma cedit nec intra flectitur, sed adversus pondus resurgit et sursum nititur recurvaturque. Propterea, inquit Plutarchus, in certaminibus palmam signum esse placuit victoriæ, quoniam ingenium ligni ejusmodi est, ut urgentibus opprimentibusque non cedat.*

En ipsius Plutarchi locus (desumptus, ut dicit, ἐκ μέσων τῶν Περιπατητικῶν τόπων, ad quæstionem : Διὰ τί τῶν ἱερῶν ἀγώνων ἄλλος ἄλλον ἔχει στέφανον, τὸν δὲ φοίνικα πάντες) Quæst. conviv. VIII, 4, 5 : Ἴδιον δὲ παρὰ ταῦτα πάντα καὶ μηδενὶ συμβεβηκὸς ἑτέρῳ τὸ μέλλον λέγεσθαι· φοίνικος γὰρ ξύλον ἂν ἄνωθεν ἐπιθεὶς βάρη πιέζῃς, οὐ κάτω θλιβόμενον ἐνδίδωσιν, ἀλλὰ κυρτοῦται πρὸς τοὐναντίον ὥσπερ ἀνθιστάμενον τῷ βιαζομένῳ. Τοῦτο δὴ καὶ περὶ τοὺς ἀθλητικοὺς ἀγῶνάς ἐστι· τοὺς μὲν γὰρ ὑπ' ἀσθενείας καὶ μαλακίας εἴκοντας αὐτοῖς πιέζουσι κάμπτοντες, οἱ δὲ ἐρρωμένως ὑπομένοντες τὴν ἄσκησιν οὐ μόνον τοῖς σώμασιν ἀλλὰ καὶ τοῖς φρονήμασιν ἐπαίρονται καὶ αὔξοῦνται.

De re cf. Schneider. in indice ad Theophrastum t. V, p. 539. Eadem quæstio legitur in Plutarch. Quæst. nat. c. 32 (e translatione Gyberti Longolii) t. II, p. 1125 Dübner. : *Cur inter omnes arbores sola palma contra impositum onus assurgit?*

23 (336).

Apollon. Mirab. c. 21 : Τῶν παρατετηρημένων δ' ἐστὶ τὸ τὰ δίχηλα μόνα τῶν ζῴων εἰς τοὺς ὀπισθίους πόδας ἀστραγάλους ἔχειν. Ἀποδέδωκε τὴν αἰτίαν Ἀριστοτέλης ἐν τοῖς φυσικοῖς Προβλήμασιν, διὰ τί ἐν τοῖς ὀπισθίοις καὶ οὐκ ἐμπροσθίοις· οὐδὲν γὰρ μάτην ἡ φύσις ἐποίησεν. Hæc in Problematum aliquam collectionem migrasse putares ex Aristotele de Partibus anim. IV, 10, t. III, p. 294, 26 : Διὰ γὰρ τοῦτο καὶ ἐν τοῖς ἐμπροσθίοις οὐκ ἔχουσιν ἀστράγαλον τὰ ἔχοντα ἀστράγαλον (τὰ δίχηλα scil. cf. l. 33), ἀλλ' ἐν τοῖς ὄπισθεν, ὅτι δεῖ ἐλαφρὰ εἶναι τὰ ἡγούμενα καὶ εὔκαμπτα, τὸ δ' ἀσφαλὲς καὶ τὴν τάσιν ἐν τοῖς ὄπισθεν.

24 (337).

Plutarch. Quæst. conviv. II, 2, 2 : Διὰ τί βρωτικώτεροι γίνονται περὶ τὸ μετόπωρον.... Λαμπρίᾳ (personæ colloquii scil.) δὲ καὶ ἀνάγκη πρὸ τοῦ κήπου κυδαίνοντι τὸν περίπατον καὶ τὸ Λύκειον, ἔργῳ μαρτυρεῖν Ἀριστοτέλει· φησὶ γὰρ ὁ ἀνήρ, βρωτικώτατον ἕκαστον αὐτὸν αὑτοῦ περὶ τὸ φθινόπωρον εἶναι· καὶ τὴν αἰτίαν ἐπείρηκεν· ἐγὼ δ' οὐ μνημονεύω... ib. 6 : Ὁ δὲ Λαμπρίας εἶπεν, ὅτι τὸ οἰκεῖον καὶ τὸ σύμφυτον θερμὸν ἡμῶν, ᾧ τρέφεσθαι πεφύκαμεν, ἐν μὲν τῷ θέρει διέσπαρται καὶ γέγονεν ἀσθενέστερον καὶ μανόν, ἐν δὲ τῷ φθίνοντι καιρῷ συναγείρεται πάλιν καὶ ἰσχύει, κατακρυπτόμενον ἐντὸς διὰ τὴν περίψυξιν καὶ τὴν πύκνωσιν τοῦ σώματος.

25 (338).

Apollon. Mirab. c. 51 : Ἀριστοτέλης δὲ ἐν τοῖς φυσικοῖς Προβλήμασιν [εἴρηκεν] τὸν ἄνθρωπόν φησι βεβρωκότα καὶ πεπωκότα τὸν αὐτὸν σταθμὸν ἄγειν καὶ ὅτε νήστης ὑπῆρχεν· πειρᾶται δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου ἀποδιδόναι.

26 (339).

Plutarch. De tuenda sanitate præcepta, c. 21 : Ἐπεὶ δὲ Ἀριστοτέλης οἴεται τῶν δεδειπνηκότων τὸν μὲν περίπατον ἀναρριπίζειν τὸ θερμόν, τὸν δὲ ὕπνον ἂν εὐθὺς καθεύδωσι καταπνίγειν· ἕτεροι δὲ

23.

Observatum est, solum ea animalia quæ bifidas habent ungulas, talos habere in posterioribus, et Aristoteles in physicis Problematis causam reddit, cur non in prioribus sed posterioribus. Nihil enim frustra fecit natura.

24.

Cur voraciores simus circa finem autumni... Lampriæ autem, qui Peripatum et Lyceum horto Epicuri præfert, necesse est Aristoteli testimonium perhibere. Is vero unumquemque se ipso voraciorem esse circa extremum autumnum asserit; causamque rei apponit, quam ego non memini.... Lamprias autem dixit, innatum nobis calorem, quo alimur, per æstatem dispersum imbecilliorem esse et rarum : eum autem sub autumni exitum colligi et viribus augeri, intus occultatum ob frigus circumdatum et densationem corporis.

25.

Aristoteles in physicis Problematis affirmat, hominem sumto cibo et potu idem pondus servare, quod ei fuerit jejuno, conaturque ejus rei causam reddere.

26.

Porro Aristotelis de sententia, cœnatorum exsuscitat ambulatio, somnus a cœna statim captus suffocat ca-

τὴν μὲν ἡσυχίαν οἴονται τὰς πέψεις βελτίονας ποιεῖν, τὴν δὲ κίνησιν ταράττειν τὰς ἀναδόσεις· καὶ τοῦτο τοὺς μὲν περιπατεῖν εὐθὺς ἀπὸ δείπνου, τοὺς δὲ ἀτρεμεῖν πέπεικεν.

27 (340).

Apollon. Mirab. c. 9 : Ἀριστοτέλης δὲ ἐν τοῖς φυσικοῖς Προβλήμασί φησιν· οἱ μονοσιτοῦντες πικρότερα τὰ ἤθη ἔχουσι μᾶλλον ἢ οἱ δὶς τροφαῖς χρώμενοι.

28 (341).

Athen. XV, p. 292, B : Ζητεῖ δ' ὁ πολυμαθέστατος Ἀριστοτέλης ἐν τοῖς φυσικοῖς Προβλήμασι· « Διὰ τί οἱ μυριζόμενοι πολιώτεροι; ἢ ὅτι τὸ μύρον διὰ τὰ ἀρώματα ξηραντικόν ἐστι,) διὸ καὶ αὐχμηροὶ οἱ μυριζόμενοι, ὁ δὲ αὐχμὸς πολιωτέρους ποιεῖ; εἴτε γὰρ αὔανσις τριχὸς ἡ πολιὰ εἴτ' ἔνδεια θερμοῦ, ἡ ξηρότης μαραίνει. Διὸ καὶ τὰ πιλία θᾶττον ποιεῖ πολιούς· ἐκπίνεται γὰρ ἡ οἰκεία τῆς τριχὸς ὑγρότης. »

Ex Athenæo, Eustathius ad Odyss. p. 1679, 28. Cf. Clemens Alex. Pædagog. II, 70, p. 77 Sylb. : Αἱ δὲ ἀφραίνουσαι γυναῖκες βάπτουσαι μὲν τὰς πολιάς, μυρίζουσαι δὲ τὰς τρίχας, πολιώτεραι θᾶττον γίνονται, διὰ τὰ ἀρώματα ξηραντικὰ ὄντα. Διὸ καὶ αὐχμηρότεροι γίνονται οἱ μυριζόμενοι· ὁ δ' αὐχμὸς πολιωτέρους ποιεῖ· εἴτε γὰρ αὔανσις τριχὸς ἡ πολιά, εἴτε ἔνδεια θερμοῦ, τῆς ξηρότητος τῆς τριχὸς ἐκπινούσης τροφὴν τὴν ὑγράν, καὶ πολιοὺς ἀποτελούσης. Canitiem non esse arefactionem Aristoteles docet in Hist. de Anim. III, 11, 5, defectum vero caloris de Gen. An. V, 4, p. 423, 23, 47. Cf. Probl. ined. s. II. 74, 77. Eos qui pileis utuntur celerius canescere idem affirmat, de Gener. An. V, 5, p. 424, 35. Ceterum rem jam de Ægyptiis narraverat Herodotus, III, 12. Cf. Hier. Mercurial. *Var. Lectt.* I, 21.

29 (342).

Epit. Athenæi I, p. 24, D : Ἔστι καὶ τρόπος ἕτερος (apud Homerum scil.) καμάτων λύσεως ἐκ τῶν κατὰ κεφαλῆς καταιονήσεων·

θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων (Od. κ, 362).

Αἱ γὰρ ἐμβάσεις περικεχυμένου πανταχόθεν τοῖς πόροις τοῦ ὕδατος φράττουσι τὴν τῶν ἱδρώτων ἔκκρισιν, καθάπερ ἂν εἴ τις ἠθμὸς εἰς ὕδωρ βληθῇ· διέξεισι γὰρ οὐθὲν εἰ μή τις αὐτὸν μετεωρίσας τοῖς πόροις ἀναψυχὴν καὶ διέξοδον εἰς τὸ ἔξω παράσχῃ, ὡς Ἀριστοτέλης εἴρηκεν ἐν τοῖς φυσικοῖς Προβλήμασι ζητῶν, διὰ τί οἱ ἱδροῦντες, ἐπὰν ἔλθωσιν εἰς θερμὸν ἢ ψυχρὸν ὕδωρ, οὐχ ἔτι ἱδροῦσιν, ἕως ἂν πάλιν ἐπανέλθωσιν ἀπὸ τῶν ἐμβάσεων.

Similis est quæstio in Problem. s. II, 2 : Διὰ τί οὐχ ἱδροῦσι τὰ ἐν θερμῷ ὕδατι μέρη, οὐδ' ἂν θερμὴ ᾖ, aliter tamen solvitur.

30 (343).

Apollon. Mirab. c. 28 : Ἀριστοτέλης ἐν τοῖς Ζωικοῖς (fr. 54)· Ὁ ῥύπος, φησίν, ἐν τοῖς ὠταρίοις γιγνόμενος πικρὸς ὤν, ὅταν τελευτᾶν μέλλωσιν ἐν ταῖς μακραῖς νόσοις γλυκὺς γίνεται. Τοῦτο δέ, φησίν, παρατετήρηται ἐπὶ πολλῶν γιγνόμενον. Ἀποδέδωκε δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου ἐν τοῖς φυσικοῖς Προβλήμασιν.

Problem. s. XXXII, 4, illud tantum modo quæritur cur sordes in auribus amaræ sint.

---

lorem : alii autem quiete adjuvari concoctionem, motu perturbari digestionem nutrimenti putant : ideoque aliis ut a cœna statim deambulent, aliis ut quiescant persuasum est.

27.

Aristoteles in physicis Problematis dicit, eos qui semel tantum cibo utantur, morosiores esse iis qui bis.

28.

Quærit omni doctrina instructissimus Aristoteles in physicis Problematis : Cur magis canescant qui unguento caput inungunt? An, quoniam unguentum propter aromata desiccat, ideo etiam, qui unguentis utuntur sicciores fiunt? Siccitas autem magis facit canos. Nam sive ariditas quædam capilli sit canities, sive defectus caloris, siccitate certe omnia marcescunt. Quare etiam pilei citius canos faciunt : quia absumitur humor alendis capillis destinatus.

29.

Est et aliud curandæ lassitudinis genus, quod fit capitis irrigatione... In solio enim aqua, spiraculis cutis undique circumfusa, obstruit sudoris excretionem; veluti si cribrum in aquam injicias. Nam ex cribro nihil effluet, nisi attollatur, ut apertis foraminibus humori foras exituro via pateat : quemadmodum Aristoteles exposuit in physicis Problematis, ubi causam exposuit, cur qui sudant, sive calida sive frigida lavent, sudare desinant, nec iterum sudent, priusquam e solis discesserint.

30.

Aristoteles in opere de iis quæ ad animalia pertinent, sordes, inquit, quæ in auribus gignuntur, quum sint alioquin amaræ, dulces morituris fieri : idque in multis esse observatum et causam rei exponit in physicis Problematis.

### 31 (344).

Pseudo-Alex. Aphrod. Probl. I, 99 : Διὰ τί τὰ στρογγύλα τῶν ἑλκῶν δυσίατα; ὅτι κατὰ παρουσίαν χολῆς δριμείας:.... Οὕτω μὲν οἱ ἰατροί· οἱ δὲ φυσικοὶ καὶ οἱ φιλόσοφοί φασι, τῷ μὴ εἶναι ἀρχὴν ὅθεν ἡ οὐλὴ ἄρξεται· ἐν γὰρ κύκλῳ οὔτε ἀρχὴν οὔτε τέλος ἔστι λαβεῖν. Ὅθεν, φασί, καὶ τὸ σχῆμα τοῦτο οἱ ἰατροὶ τῷ σιδήρῳ τέμνοντες ἀλλοιότερον αὐτὸ ποιοῦσι.

Hæc satis probabili conjectura ad Aristotelem retulit Rosius, collato Pseudo-Alex. Probl. I, 141 (cf. Probl. ined. s. II, 147), ubi Aristoteles eodem modo medicis opponitur. Idem affert e Problematis Aristoteli inscriptis, quæ e cod. Bambergensi edidit, quæst. 21 : *Quare rotunda vulnera non facile cicatricantur? Quia initium cicatricis non habent*, quod uberius tractatur a Cassio Probi. 1, et Apollon. Mirab c. 42 : Τῶν παρατετηρημένων ἐστὶ τὸ δυσκατούλωτα ἕλκη γίγνεσθαι ταῖς τε κυούσαις καὶ τοῖς σπληνικοῖς καὶ τοῖς κιρσοὺς ἔχουσι καὶ ταῖς γυναιξὶν ὅσαις ἰξίαι περὶ τοὺς μηροὺς ἔνεισιν.

### 32 (345).

Apuleius de Magia, c. 51 : *Percontatus an esset mulieri illi* (*caducæ* scil.) *caput grave, cervix torpens, tempora pulsata, aures sonoræ. Ceterum quod dexteræ auris crebriores tinnitus fatebatur, signum erat morbi penitus adacti. Nam dextera corporis validiora sunt eoque minus spei ad sanitatem relinquunt, quum et ipsa ægritudini succumbunt.* Aristoteles *adeo in Problematis scriptum reliquit, quibuscunque caducis a dextero morbus occipiat, eorum esse difficiliorem medelam. Longum est, si velim Theophrasti quoque sententiam de eodem morbo recensere : est enim etiam ejus egregius liber de caducis.*

Dexteras corporis partes validiores esse affirmat Aristoteles de Hist. An. I, 15, p. 12, 2. Cf. Probl. XXXI, 22, 13.

### 33 (346).

Alexander Aphrod. in Arist. Meteor. f. 131 recto : Λέγει δὲ (Aristoteles scil. Meteor. IV, 3, § 25) ἐν τῇ τῆς τροφῆς πέψει, ἥτις ἐν τῇ ἄνω κοιλίᾳ γίνεται, μηδὲ ζῷον γεννᾶσθαι, ὥς τινες ᾤοντο, ἀλλ' ἐν τοῖς περιττώμασι καὶ τῇ ἀποκρίσει καὶ τῇ κάτω κοιλίᾳ σηπομένῃ, ὡς ἐπὶ τῶν ἐκτὸς σηπομένων ὁρᾶταί τινα ζῷα, ὡς προείρηκεν, ὅτε ἔλεγε περὶ σήψεως· γεννώμενα δὲ οὕτω τε καὶ ἐνταῦθα ἐπάνεισι πολλάκις ἐπὶ τὴν ἄνω κοιλίαν. Ἐστὶ δὲ ταῦτα αἵ τε λεγόμεναι τερηδόνες καὶ οἱ ἕλμινθες. Διὸ πολλάκις ἐν ταῖς νόσοις καὶ ἐμοῦνται. Τὴν δ' αἰτίαν τοῦ κάτω μὲν γίνεσθαι αὐτά, ἐπανιέναι δὲ πολλάκις καὶ ἐπὶ τὴν ἄνω κοιλίαν, ἐν ἑτέροις εἰρῆσθαί φησιν· ἐν γὰρ τοῖς Προβλήμασι. Κάτω μὲν γὰρ καὶ ἐν τῇ κάτω κοιλίᾳ, ὅτι ἐκ σήψεως γίνεται· ἐνταῦθα δὲ ἡ σῆψις. Ἐπάνεισι δὲ ἐν ταῖς νόσοις καὶ ἐπὶ τὴν ἄνω κοιλίαν, δι' ἃς ἐν ἐκείνοις αἰτίας λέγει.

Aristotelem potius libros περὶ Τροφῆς innuisse supra jam dictum est cf. p. 168, rem vero et in Problematis tractatam fuisse, hæc Alexandri Aphrodisiensis verba testantur.

### 34 (347).

Plutarch. Quæst. conviv. VIII, 10, 1 : Διὰ τί τοῖς φθινοπωρινοῖς ἐνυπνίοις ἥκιστα πιστεύομεν; Προβλήμασιν Ἀριστοτέλους φυσικοῖς ἐντυγχάνων

---

31.

Cur difficulter ulcera rotunda curantur? Quoniam per bilem acrem atque.... Medici ita volunt, physici vero et philosophi quoniam principium nullum est, unde cicatrix adduci incipiat; circulus enim et principio caret et fine. Quare, dicunt, medicos figuram hanc ulceris ferramento incidentes mutare.

33.

Aristoteles dicit in concoctione alimenti, quæ fit in superiore ventre non nasci animalia, ut quidam putabant, sed in supervacaneis et excrementis, quæ in ventre putreant inferiore, ut in iis quæ extrinsecus putrent, animalia quædam conspiciuntur, quemadmodum jam antea dixit quum de putrefactione locutus est. Quæ autem sic nata sunt et ibi, sæpe in superiorem ventrem ascendunt, sunt vero hæc quæ vocantur teredones et lumbrici. Quare sæpe in morbis et vomitu eduntur. Causam autem cur infra nascantur, sæpe vero in superiorem ventrem ascendant se alias dixisse monet, in Problematis enim. Nascuntur enim infra et in inferiore ventre quoniam e putredine oriuntur, ibi vero putredo. In morbis autem et in superiorem ventrem ascendunt ob causas quas in illis dicit.

34.

Cur autumnalibus somniis minimum fidei adhibeamus. Florus quum faceret lectionem physicorum Aristotelis Problematum, ad ipsum Thermopylas allatorum, cum ipse multas animo dubitationes concepit, ut solent ingenia doctrinæ studiosa, tum sodales iis impertivit : testimonium ferens Aristoteli, qui dixit, multam sciendi cupiditatem multa facere principia (*quæstionum*). Et sane reliquæ in ambulationibus diurnis quæstiones non insuaviter nos oblectaverunt : quod autem de insomniis fertur, ea maxime iis mensibus quibus defluunt folia, esse incerta et mendacia, nescio quomodo se rursum protulit, quum Favorinus a cœna res tractaret

Φλῶρος εἰς Θερμοπύλας κομισθεῖσιν, αὐτός τε πολλῶν ἀποριῶν, ὅπερ εἰώθασι πάσχειν ἐπιεικῶς αἱ φιλοσόφων φύσεις, ὑπεπίμπλατο καὶ τοῖς ἑταίροις μετεδίδου, μαρτυρῶν αὐτῷ τῷ Ἀριστοτέλει, λέγοντι τὴν πολυμάθειαν πολλὰς [ἀποριῶν] ἀρχὰς ποιεῖν (cf. supra fragm. 90). Τὰ μὲν οὖν ἄλλα μεθ' ἡμέραν οὐκ ἄχαριν ἡμῖν ἐν τοῖς περιπάτοις διατριβὴν παρέσχε· τὸ δὲ λεγόμενον περὶ τῶν ἐνυπνίων, ὡς ἔστιν ἀβέβαια καὶ ψευδῆ μάλιστα περὶ τοὺς φυλλοχόους μῆνας, οὐκ οἶδ' ὅπως, ἑτέροις λόγοις πραγματευσαμένου τοῦ Φαβωρίνου μετὰ τὸ δεῖπνον, ἀνέκυψε. Τοῖς μὲν οὖν σοῖς ἑταίροις ἐμοῖς δὲ υἱοῖς ἐδόκει λελυκέναι τὴν ἀπορίαν Ἀριστοτέλης, καὶ οὐδὲν ᾤοντο δεῖν ζητεῖν οὐδὲ λέγειν ἀλλ' ἢ τοὺς καρπούς, ὥσπερ ἐκεῖνος αἰτιᾶσθαι. Νέοι γὰρ ὄντες ἔτι καὶ σφριγῶντες πολὺ πνεῦμα γεννῶσιν ἐν τῷ σώματι καὶ ταραχῶδες· οὐ γὰρ τὸν οἶνον εἰκός ἐστι μόνον ζεῖν καὶ ἀγανακτεῖν οὐδὲ τοὔλαιον ἂν ᾖ νεουργὸν ἐν τοῖς λύχνοις ψόφον ἐμποιεῖν ἀποκυματιζούσης τὸ πνεῦμα τῆς θερμότητος, ἀλλὰ καὶ τὰ σιτία τὰ πρόσφατα καὶ τὴν ὀπώραν ἅπασαν ὁρῶμεν ἐντεταμένην καὶ οἰδῶσαν, ἄχρι ἂν ἀποπνεύσῃ τὸ φυσῶδες καὶ ἄπεπτον. Ὅτι δέ ἐστι τῶν βρωμάτων ἔνια δυσόνειρα καὶ ταρακτικὰ τῶν καθ' ὕπνον ὄψεων, μαρτυρίοις ἐχρῶντο τοῖς τε κυάμοις καὶ τῇ κεφαλῇ τοῦ πολύποδος, ὧν ἀπέχεσθαι κελεύουσι τοὺς δεομένους τῆς διὰ τῶν ὀνείρων μαντικῆς.

Cf. ibidem infra s. 3, ubi legitur : Παῦε ποικίλλων, ἔφη, πρὸς ἡμᾶς· οὐ γὰρ ἀγνοοῦμεν, ὅτι τὴν Ἀριστοτέλους δόξαν εὐδοκιμῆσαι βουλόμενος, ὥσπερ σκιὰν αὐτῇ τὴν Δημοκρίτου παραβέβληκας.

35 (348).

A. Gellius Noct. Att. XIX, 6 : *In Problematis* Aristotelis *philosophi ita scriptum est :* Διὰ τί οἱ μὲν αἰσχυνόμενοι ἐρυθριῶσιν, οἱ δὲ φοβούμενοι ὠχριῶσιν, παραπλησίων τῶν παθῶν ὄντων; ὅτι τῶν μὲν αἰσχυνομένων διαχεῖται τὸ αἷμα ἐκ τῆς καρδίας εἰς ἅπαντα τὰ μέρη τοῦ σώματος ὥστε ἐπιπολάζειν, τοῖς δὲ φοβηθεῖσι συντρέχει εἰς τὴν καρδίαν, ὥστε ἐκλείπειν ἐκ τῶν ἄλλων μερῶν.

Non eadem, sed his similia leguntur in Probl. s. XXVII, 6, 8; XXXI, 3; XXXII, 1, 8, 12, 31, ubi tamen de solo rubore aurium mentio fit. Cf. Cassii Probl. 49. Alexandri Probl. I, 12, 14, 15, 19, 32.

36 (349).

A. Gellius Noct. Att. I, 11 : *Morem autem illum ingrediendi ad tibicinum modulos prœlii institutum esse a Lacedæmoniis* Aristoteles *in libris Problematum scripsit, quo manifestior fieret exploratiorque militum securitas et alacritas. Nam diffidentiæ, inquit, et timori cum ingressione hujuscemodi minime convenit et mœsti atque formidantes ab hac tam intrepida ac tam decora incedendi modulatione alieni sunt. Verba pauca Aristotelis super ea re apposui :* Διὰ τί ἐπειδὰν πολεμεῖν μέλλωσι, πρὸς αὐλὸν ἐμβαίνουσιν; ἵνα τοὺς δειλοὺς ἀσχημονοῦντας γινώσκωσιν.

37 (350).

Plinius Hist. Nat. II, 101 : *Omnia plenilunio maria purgantur... his addit...* Aristoteles *nullum animal nisi æstu recedente exspirare. Observatum id multum in Gallico Oceano et duntaxat in homine compertum*. Cf. Posidonius apud Priscianum Quæst. p. 571 ed. Didot.

38 (351).

Athen. X, 434, E : Ἐξυδαροῦσθαι γάρ φησιν ὁ Ἀριστοτέλης ἐν τοῖς φυσικοῖς Προβλήμασι τῶν τοιούτων (τῶν μεθυόντων scil.) τὴν γονήν.

---

alias. Tuis quidem sociis, meis filiis, videbatur solvisse nodum Aristoteles, neque aliud quærendum putabant, sed cum eo causam in fructus conferendam : qui recentes et humore turgidi multum turbulentumque in corpore spiritum generent. Non enim vinum duntaxat effervescere et insurgere, et oleum recens expressum in lucernis probabile est obstrepere, calore flatum, quasi fluctum quendam, edente; sed et frumentum novum, et pomorum genus omne videmus tumere atque distendi, donec flatus et cruditas eorum discutiatur. Cibos porro quosdam esse qui difficiles somnos faciant, et animam perturbent, testatum fieri fabarum exemplo, et polypodis capite, quibus abstinere juberentur qui divinare per somnum cuperent.

35.

Cur erubescant qui pudore afficiantur, palleant qui metu, quum istæ affectiones similes sint inter se? An quoniam pudore affectis sanguis de corde in omnes corporis diffunditur, ita ut superficiem occupet, metu vero perculsis ad cor attrahitur, ita ut ceteris partibus deficiat?

37

Cur, ubi commissuri prælium sunt (*Lacedæmonii scil.*), ad tibiæ modulos congrediuntur? Ut timidos minus decore agentes cognoscant.

38.

Ebriosorum hominum genituram, ait Aristoteles in Physicis Problematis, in aquam fere resolvi.

Eadem quæstio tractatur in Problem. III, 11 et 33, sed in neutro loco illud ἐξυδαροῦσθαι verbum occurrit.

39 (352).

Plutarch. Quæst. conviv. III, 5, ita inscriptum est : Εἰ ψυχρότερος τῇ δυνάμει ὁ οἶνος; Quæstionem in Aristotelis Problematis tractatam fuisse testatur Plutarchus his verbis § 2 : Μέμνημαι μὲν οὖν, ἔφην, ἐγώ, καὶ Ἀριστοτέλους ἐντυχὼν οὐ νεωστὶ λόγῳ περὶ τούτου τοῦ προβλήματος, ἀλλ' ἱκανῶς πάλαι.

40 (353).

Plutarch. Quæst. conviv. III, 8, 1 : Διὰ τί ἀκροθωράκων λεγομένων οἱ σφόδρα μεθύοντες ἧττον παρακινητικοί εἰσιν; Οὐκοῦν, εἶπεν ὁ πατήρ, ἐπεὶ παρακεκινήκαμεν τὸν Ἀριστοτέλην (III, 7, cf. supra fr. 11), καὶ περὶ τῶν ἀκροθωράκων καλουμένων ἴδιόν τι ἐπιχειρήσομεν εἰπεῖν· οὐ γὰρ ἱκανῶς μοι δοκεῖ, καίπερ ὀξύτατος ὢν ἐν τοῖς τοιούτοις ζητήμασι, διηκριβωκέναι τὴν αἰτίαν. Φησὶ γάρ, οἶμαι, τοῦ μὲν νήφοντος εὖ καὶ τὰ ὄντα κρίνειν τὸν λογισμόν, τοῦ δ' ἄγαν μεθύοντος ἐκλελυμένην κατέχεσθαι τὴν αἴσθησιν, τοῦ δ' ἀκροθώρακος ἔτι μὲν ἰσχύειν τὸ φανταστικόν, ἤδη δὲ τεταράχθαι τὸ λογιστικόν· διὸ καὶ κρίνειν, καὶ κακῶς κρίνειν ἐπακολουθοῦντα ταῖς φαντασίαις.

Eadem quæstio bis tractata est Problem. III, 2 et 27, alia tamen in suis Problematis legisse videtur Plutarchus, licet ea quæ in ultimo Problemate de Satyro, tragœdiarum actore, narrantur respexerit in libro De cohib. ira, c. 10.

41 (354).

Plutarchi Quæst. conviv VI, 8, 3 : Ἐμνήσθην τῶν Ἀριστοτελικῶν, ἐν οἷς λέγεται, ὅτι, πολλῆς περιψύξεως γενομένης ἔξωθεν, ἐκθερμαίνεται σφόδρα τὰ ἐντός, καὶ πολὺ σύντηγμα ποιεῖ· τοῦτο δ', ἐὰν μὲν ἐπὶ τὰ σκέλη ῥυῇ, κόπους ἀπεργάζεται καὶ βαρύτητας, ἐὰν δ' ἐπὶ τὰς τῆς κινήσεως καὶ τῆς ἀναπνοῆς ἀρχάς, ἀψυχίαν ἢ καὶ ἀσθένειαν.

Haud puto alio quodam Aristotelis libro usum esse Plutarchum in Quæstionibus convivalibus, quam Problematum collectione; in iis vero quæ habemus Problematis nullum tale occurrit in quinta sectione, quæ inscribitur : Ὅσα ἀπὸ κόπου. Ceterum cf. de Somno et Vigilia, c. 3, p. 504, 49

42 (355).

Plutarch. Quæst. conviv. VII, 5, 2 : Δοκεῖ δέ μοι μηδ' Ἀριστοτέλης αἰτίᾳ δικαίᾳ τὰς περὶ θέαν καὶ ἀκρόασιν εὐπαθείας ἀπολύειν ἀκρασίας, ὡς μόνας ἀνθρωπικὰς οὔσας· ταῖς δ' ἄλλαις καὶ τὰ θηρία φύσιν ἔχοντα χρᾶσθαι καὶ κοινωνεῖν.

Hæc, licet proxime accedant ad ea quæ in capite primo de Sensu disputata sunt, tamen ob rationem quam supra attulimus, potius e deperdita Problematum parte desumpta arbitramur, quod et verba αἰτίᾳ δικαίᾳ demonstrare videntur.

43 (356).

Plutarch. Quæst. conviv. VI, 9, 3 : Καὶ γὰρ οἶνον κεκραμένον, δυσχερέστερον ἐξαιροῦσι τῶν ἱματίων, ὡς Ἀριστοτέλης φησίν, ὅτι λεπτότερός ἐστι, καὶ μᾶλλον ἐνδύεται τοῖς πόροις.

Οἴνου κεκραμένου mentio fit in Problem. III, 14 et XII, 13, neutrum vero problema respicere videtur Plutarchus.

---

39.

Memini (*dicit Plutarchus*) me incidisse in Aristotelis de hac quæstione an vinum facultate frigidum sit disputationem, non nuper, sed jam dudum.

40.

Cur acrothoraces (*id est semiebrii*) magis motibus excitantur absurdis, quam admodum ebrii? Quantumvis acutissimus in hoc genere quæstionum Aristoteles, tamen causam mihi videtur non satis subtiliter et exacte reddidisse. Dicit enim, ut puto, sobrii rationem sibi constare : valde inebriati etiam sensum esse obrutum : at semiebrii adhuc valere vim imaginatricem, jam conturbata ratione; itaque eos et judicare, et quod visis pareant, male judicare.

41.

Aristoteles docet foris magno circumfuso et efficaci frigore corporis interna vehementer incalescere, magnamque ita colliquationem effici : quæ si ad crura defluat, lassitudines gignat ac gravitates; sin ad principia motus et respirationis, exanimationes aut imbecillitatem.

42.

Videtur autem Aristoteles etiam non justam causam afferre, cur solæ delectationes spectaculorum et auditionum intemperantiæ culpæ vacent; quia scilicet hominis eæ sint propriæ, reliquæ etiam a brutis per naturam suam percipiantur.

43.

Vinum dilutum Aristoteles ait difficilius elui e vestibus, quod magis tenue factum, penitius in meatus subeat.

44 (357).

In libro s. l. e. a. inscripto : *Speculum sapientie beati Cirilli episcopi alias quadripartitus apologeticus vocatus* (V. Hain, *Repert. bibl.* 5904), cujus et codices duo Berol. contulit Rose (qui de auctore Cyrillo de Qwidenon, citat Debrorosky, *Geschichte der böhmischen Sprache und Litteratur*, Prag. 1818, p. 296) hic est prologus : *Secundum Aristotelis sententiam in Probleumatibus suis, quanquam in exemplis in addiscendo gaudeant omnes, in disciplinis tamen moralibus hoc amplius placet, quoniam structura morum imagine picta rerum similitudinibus palacium virtutis ostendit* (*sub imagine picta paulatim ostenditur* cod. Berol. sec.), *eo quod ex naturalibus animalium moribus et proprietatibus rerum quasi de vivis imaginibus humane vite qualitas exemplatur. Totus enim mundus visibilis est scola et rationibus sapientie plena sunt omnia. Propter hoc, fili karissime, informativa juventutis tue documenta moralia... trademus*, etc.

---

Præter collectionem Problematum, quæ communi titulo physicorum inscripta, varias naturales quæstiones complectebatur, minoris ambitus libellos exstitisse, unius tantum generis quæstionibus compositos, cum ex indicibus, tum aliunde probabile fit, de quibus nunc paucis videndum erit.

## II. ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΝΕΙΛΟΥ ΑΝΑΒΑΣΕΩΣ.

Liber περὶ τῆς τοῦ Νείλου ἀναβάσεως in appendice Anonymi memoratus (19) et item in indice arabico : *De Nilo Ægyptiaco libri III* (Dschemal. 22), eadem fere fortuna usus videtur, qua qui secundus inscriptus est Œconomicorum de quo supra diximus. Antiqua enim ejus versio latina quintodecimo seculo ter seorsim typis edita (cf. Hain, *Repertor. bibliographic.* Stuttg. 1826-38, N. 1659, 1682, 1786), nec minus in latinas operum Aristotelis editiones recepta, ut in Venetam 1550, Basileensem 1563, adeo deinde obliterata est ut ab omnibus fere jam ignoraretur (cf. tamen præter Fabricium, Buhle, *de Aristotelis libris deperditis*, p. 127 et Brandis, *Aristoteles*, t. I, p. 120), ita ut eam Rosius quamvis editam, ineditam vocare merito potuerit. Librum ipsum jure Problematis accenseri, demonstrat quæstio de qua agitur, non minus in antiquitate quam ad nostram usque memoriam controversa, licet proxime jam ad verum accesserit, quisquis ille fuit, qui hunc libellum condidit, et solemne in talibus initium Διὰ τί, *propter quid.* Utrum vero Aristoteles, an, ut voluit Rosius, Theophrastus auctor habendus sit, quæstio est, quam vix dijudicari posse speramus, præsertim quum ad codicum auctoritatem, scriptorum quoque græcorum testimonia accedant, unde manifestum fieri videtur hoc ipsum argumentum uberius ab Aristotele tractatum esse. De auctore libri more solito in . *Expositione supra librum de inundatione Nili collecta anno Domini MCCCVIII in rogationibus a magistro Bartholomeo de Brugis*, cujus specimina quædam e codice Sorbon. 841 edita sunt apud Rosium p. 639 s. : *Nota primo quod iste liber videtur factus esse ab Aristotele, et hoc propter tria, primo quia similem modum procedendi habet in isto, scilicet primo ponendo opiniones aliorum ante propriam, sicut in aliis libris suis, secundo ex stilo, ejus qui brevis et obscurus secundum subjectam materiam, tercio quia quedam tradita in libro metheororum hic replicat.*

Ceterum de Nilo pluribus ab Aristotele dictum fuisse, in ampliore librorum de Meteorologia recensione, conjecerat olim Idelerus, in comm. ad Aristot. Meteorol., t. I, p. 467, nullis tamen satis aptis argumentis ad suam de duplici recensione opinionem confirmandam additis. Locus erat libri primi caput tertiumdecimum, quod aperte respexit Proclus in Platonis Timæum, p. 37, adjectis tamen nonnullis quæ ad deperditum quendam de hac quæstione librum pertinere videntur. Cf. infra fr. 2.

1 (358).

Joannes Philop. in Arist. de Gener. et Corrupt. (I, 5, 8) fol. 22 recto : Πέφυκε δὲ πυκνοῦσθαι (ὁ ἀὴρ scil.) καὶ εἰς ἑαυτὸν συνιζάνειν οὐ μόνον ψυχόμενος (cf. Arist. Meteorol. I, 9, 3 et c. 12, 19) ἀλλὰ καὶ ὠθούμενος καὶ πιλούμενος. Οὕτω γοῦν ἀποδέδειχεν ὁ Ἀριστοτέλης ἐν θέρει ἐν τῇ Αἰθιοπίᾳ τοὺς ὑετοὺς γινομένους· ὠθουμένης γὰρ τῆς ἐκ τῶν βο-

---

DE NILO.

1.

Aer densatur et in se ipsum considit non solum frigore sed etiam pulsus et compressus. Ita igitur ostendit Aristoteles æstate imbres gigni in Æthiopia : aer enim ex regionibus versum septentrionem positis, ventis etesiis

ρείων ἀτμίδος ὑπὸ τῶν ἐτησίων πνευμάτων καὶ τοῖς Ἀραβικοῖς προσπιπτούσης ὄρεσι μεγίστοις οὖσι καὶ συνθλιβομένης ἀεὶ ὑπὸ τῆς ἐπιγινομένης, τῇ πιλήσει πυκνοῦσθαι καὶ εἰς ὕδωρ μεταβάλλειν. Ἔστι γοῦν τὸν τῶν ἐτησίων χρόνον ἐν τῇ Αἰθιοπίᾳ κατὰ συνέχειαν ὁρᾶν κρουνηδὸν τοὺς ὑετοὺς καταφερομένους ψύξεως ἁπάσης χωρίς· τὸ αὐτὸ δὲ καὶ ἐν τοῖς βαλανείοις γίνεται· ἡ γὰρ ἀνιοῦσα ἀτμὶς καὶ τῇ ὀροφῇ πλησιάζουσα διέξοδον οὐκ ἔχουσα συμπιλεῖται εἰς ἑαυτὴν καὶ πυκνουμένη γίνεται ὕδωρ καὶ τῇ συμφύτῳ βαρύτητι καταρρεῖ.

Olympiod. in Arist. Meteor. (I, 9, 3) fol. 18 verso (t. I, p. 222 Idel.) : Ἰστέον ὅτι ὁ μὲν Ἀριστοτέλης αἴτιον λέγει τῆς εἰς ὕδωρ μεταβολῆς τὴν ψῦξιν μόνον, Θεόφραστος δὲ οὐ μόνον τὴν ψῦξιν λέγει αἰτίαν τῆς τοῦ ὕδατος γενέσεως ἀλλὰ καὶ τὴν πίλησιν. Ἰδοὺ γὰρ ἐν Αἰθιοπίᾳ μὴ οὔσης ψύξεως ὅμως ὑετὸς κατάγεται διὰ τὴν πίλησιν. Φησὶ γὰρ ὄρη εἶναι ἐκεῖσε ὑψηλότατα, εἰς ἃ τὰ νέφη προσπταίουσι καὶ εἶθ' οὕτως ὑετὸς καταρρήγνυται διὰ τὴν γινομένην πίλησιν. Ἀλλὰ μὴν καὶ ἐπὶ τῶν λεβήτων ὑγρότης, φησίν, ἀντικαταρρεῖ, ἔτι δὲ καὶ ἐπὶ τῶν θόλων τῶν λουτρῶν μὴ παρούσης ψύξεως, διὰ τὴν πίλησιν δηλονότι τούτου γινομένου. . . . Ἀλλ' ἔστιν, ὥς μοι δοκεῖ, συνηγορῆσαι τῷ Ἀριστοτέλει, ὅτι ψῦξις μόνη αἰτία. Cf. Olympiod. f. 21 recto, 34 verso.

2 (359).

Photius Biblioth. cod. 249, p. 441, B, 1 : Φέρονται γοῦν (οἱ ἐτησίαι ἄνεμοι) ἐπὶ τοὺς ἐναντίους τόπους· ἐκεῖ δὴ ταῦτα ἐκφερόμενα προσπίπτει τοῖς ὑψηλοτάτοις ὄρεσι τῆς Αἰθιοπίας καὶ πολλὰ καὶ ἀθρόα γινόμενα ἀπεργάζεται ὑετούς· καὶ ἐκ τῶν ὑετῶν τούτων ὁ Νεῖλος πλημμυρεῖ τοῦ θέρους, ἀπὸ τῶν μεσημβρινῶν καὶ ξηρῶν τόπων ῥέων. Καὶ τοῦτο Ἀριστοτέλης ἐπραγματεύσατο· αὐτὸς γὰρ ἀπὸ τῆς φύσεως ἔργῳ κατενόησεν, ἀξιώσας πέμψαι τὸν Ἀλέξανδρον τὸν Μακεδόνα εἰς ἐκείνους τοὺς τόπους καὶ ὄψει τὴν αἰτίαν τῆς τοῦ Νείλου αὐξήσεως παραλαβεῖν. Διό φησιν ὡς τοῦτο οὐκέτι πρόβλημά ἐστιν· ὤφθη γὰρ φανερῶς ὅτι ἐξ ὑετῶν αὔξει.

Proclus in Plat. Timæum p. 37, D : Καὶ γὰρ τοῦτο ἓν εἶναι αἴτιον ὄμβρων φησὶν ὁ Θεόφραστος τὴν τῶν νεφῶν πίλησιν πρός τινα τῶν ὀρῶν . . . (καὶ γὰρ φέρεται πρῶτον ὁ Νεῖλος) ἐκ τῶν Σεληναίων ὀρῶν, ἃ διὰ τὸ ὕψος οὕτω ἐκάλεσαν καὶ τῶν πρὸς ἐκείνοις ἀθροιζομένων νεφῶν . . . Ἐρατοσθένης δὲ οὐκέτι φησὶν οὐδὲ ζητεῖν χρῆναι αἰτίαν τῆς αὐξήσεως τοῦ Νείλου, σαφῶς καὶ ἀφικομένων τινῶν εἰς τὰς τοῦ Νείλου πηγὰς καὶ τοὺς ὄμβρους τοὺς γινομένους ἑωρακότων, ὥστε κρατύνεσθαι τὴν Ἀριστοτέλους ἀπόδοσιν. Cf. Scholia in Platon. Timæum p. 425 Bekk.

Cum his conjungenda sunt quæ leguntur apud Strabon. XVIII, p. 790 : Φησὶ γὰρ (sc. Ποσειδώνιος) Καλλισθένη (*Eratosthenem* vet. interpr.) λέγειν τὴν ἐκ τῶν ὄμβρων αἰτίαν τῶν θερινῶν παρὰ Ἀριστοτέλους λαβόντα, ἐκεῖνον δὲ παρὰ Θρασυάλκου τοῦ Θασίου (τῶν ἀρχαίων δὲ φυσικῶν εἷς οὗτος), ἐκεῖνον δὲ παρὰ Θαλοῦ (ita C. Müller. in ed. Didot., pro παρ' ἄλλου), τὸν δὲ παρ' Ὁμήρου διιπετέα φάσκοντος τὸν Νεῖλον

ἂψ δ' εἰς Αἰγύπτοιο διιπετέος ποταμοῖο (Od. δ, 581.

Poterat etiam v. 477 laudare Strabo, ad quem hæc scholia : Πολλῶν λεγομένων περὶ τῆς τοῦ Νείλου ἀναβάσεως πρῶτος Ὅμηρος τὴν ἀληθεστάτην αἰτίαν εἶπε διιπετῆ προσαγορεύσας αὐτόν, διότι πληροῦται ἀπὸ τῶν ἐν Αἰθιοπίᾳ γινομένων ἀδιαλείπτων τοῦ θέρους καὶ σφοδρῶν ὑετῶν, ὡς καὶ Ἀριστοτέλης καὶ Εὔδοξός, πεπύσθαι ταῦτα φάσκοντες ἀπὸ τῶν ἐν Αἰγύπτῳ ἱερῶν, quæ eadem et Eustathius p. 1505, 61 exhibet. Apud hos nomen Eudoxi male pro Eudori illatum esse, e Strabonis l. l. videri posset, ubi Eudorum et Aristonem Peripateticum de Nilo scripsisse testatur. Non ab Aristotele, sed a Callisthene res explorata esse dicitur apud Joannem Lydum de Mensibus IV, 68, p. 264 ed. Rœth. et Anonymum Περὶ τῆς τοῦ Νείλου ἀναβάσεως ap. Schweighæuserum ad Athenæum II, c. 87, editum jam in H. Stephani collectione scriptt. quorundam Aristot. et Theophrasti, Par. 1557, p. 145. Cf. Callisthenes fr. 6 ad calcem Arriani ed. Didot, Demosth. Orat. ed.

impulsus, in arabicos montes qui altissimi sunt incidit, et novo semper aere accedente coarctatus, compressione densatur et in aquam mutatur.

2.

Etesiæ venti ad oppositas plagas meridionales feruntur; eoque delati in altissimos Æthiopiæ montes decidunt. Quum autem condensati et frequentes fuerint, pluvias creant, e quibus æstivo tempore Nilus auctus exundat, ex australibus locis et aridis profluens, idemque Aristoteles investigando comperit. Ipse enim ingenii præstantia hoc deprehendit, quum æquum putasset Alexandrum Macedonem ad ea loca mittere, ut oculis causam incrementi Nili fluminis cognosceret. Propterea aperit hoc non amplius dubium esse. Clare enim patet e pluviis augeri.

Posidonius ait Callisthenem tradere æstivos imbres causam esse; idque hunc ab Aristotele sumpsisse, Aristotelem vero a Thrasyalce Thasio, qui unus fuit ex antiquis physicis; Thrasyalcen vero a Thalete, atque illum ab Homero, qui διιπετέα, i. e. cælitus delabentem, Nilum dicit.

Paris. 1570, p. 35, Suidas s. v. Ἐτησίαι, Schol. Apollonii Rh. IV, 269.

3 (360).

*Incipit liber* Aristotelis *de inundacione Nili.*

Eadem hæc Suidas et Lex. Seguer. p. 235, 26. Apud Etymol. M. p. 249, 43 tantummodo leguntur : Δατητής : Παρὰ Ἀττικοῖς ὁ διανεμητής. Ἀριστοτέλης. Lex. Rhet. Cant. p. 667, 28 : Εἰς δατητῶν (αἵρεσιν) : Πρόκλησις νεμέσεως ἢ κληρονομίας ἢ κοινοῦ τινὸς ἀγορασμοῦ· ἐπὶ τῶν διανεμόντων τὰ κοινά τισιν, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ· « Δίκαι λαγχάνονται πρὸς τὸν ἄρχοντα ἄλλαι τινὲς (cod. ἀλλ' εἴ τις) καὶ εἰς δατητῶν αἵρεσιν, ὅταν μὴ θέλῃ τὰ ὄντα νέμεσθαι (Meier. l. l.: ὅταν ὁ μὲν θέλῃ, ὁ δὲ μὴ θέλῃ τὰ κοινὰ ὄντα νέμεσθαι). » Lex. Rhet. Seguer. p. 310, 17 Bekk.: Οἱ διαιτηταὶ (ita male hîc et supra p. 235, 26 pro δατηταί) πᾶσαν δίκην δικάζουσι πλὴν τῶν ξενικῶν, οἷον πρόκλησιν νεμήσεως ἐπί τινων ἢ κληρονομίας ἢ κοινὸν ἀγορασμόν. Κυρίως μέντοι οἱ διανέμοντες τὰ κοινά τισιν.

43 (412).

Harpocration s. v. Σῖτος :... Σῖτος καλεῖται ἡ διδομένη πρόσοδος εἰς τροφὴν ταῖς γυναιξὶν ἢ τοῖς ὀρφανοῖς, ὡς ἐξ ἄλλων μαθεῖν ἔστι καὶ ἐκ τοῦ Σόλωνος α' ἄξονος καὶ ἐκ τῆς Ἀριστοτέλους Ἀθηναίων Πολιτείας.

Καὶ ἐκ Σόλωνος ἄξονον codd. AB et Vindob. Eadem apud Photium et Suidam, ubi legitur : Καὶ ἐκ τῶν τοῦ Σόλωνος πρώτου ἄξονος. Cf. supra fr. 12. Pollux VIII, 33 : Τὰς δ' ἐπὶ τῷ σίτῳ δίκας ἐν Ὠδείῳ ἐδίκαζον· σῖτος δέ ἐστιν αἱ ὀφειλόμεναι τροφαί.

44 (413).

Harpocration s. v. Ἐπιμελητὴς τῶν μυστηρίων : Παρ' Ἀθηναίοις ὁ λεγόμενος βασιλεύς... Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ φησὶν οὕτως· « Ὁ δὲ βασιλεὺς πρῶτον μὲν τῶν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν οὓς ὁ δῆμος ἐχειροτόνει (corr. χειροτονεῖ c. Bekkero) δύο μὲν ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δ' ἐξ Εὐμολπιδῶν, ἕνα δ' ἐκ Κηρύκων. » Eadem, omisso Aristotelis nomine, apud Suidam s. v. et Etymol. M. p. 362, 10, qui addunt post ἐχειροτόνει, τέσσαρες δὲ ἦσαν.

45 (414).

Pollux VIII, 90 : Ὁ δὲ βασιλεὺς μυστηρίων προέστηκε μετὰ τῶν ἐπιμελητῶν καὶ Ληναίων καὶ ἀγώνων τῶν ἐπὶ λαμπάδι, καὶ τὰ περὶ τὰς πατρίους θυσίας διοικεῖ. Δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται ἀσεβείας, ἱερωσύνης ἀμφισβητήσεως. Καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι πᾶσιν αὐτὸς δικάζει, καὶ τὰς τοῦ φό-

---

vero in Republica Atheniensium dicit apud archontem hanc actionem intendi, qui re excussa in forum eam introducat.

42.

Δατεῖσθαι, dividere, δατηταὶ vero quasi divisores. Porro εἰς δατητῶν αἵρεσιν, *ad divisorum electionem*, est judicii forma. Quoties enim ex iis qui societatem coiissent, communem rem dividere volebant, litem intendebant iis qui recusabant, in jus vocantes ad divisorum electionem. Lysias in Oratione contra Alexidemum, si modo genuina est, et Aristoteles in Republica Atheniensium.

43.

Σῖτος vocatur reditus qui ad alimenta mulieribus et pupillis præbetur, quod cum ex aliis discere est tum ex primo axe Solonis et ex Aristotele in Republica Atheniensium.

44.

Curator mysteriorum apud Athenienses erat rex sacrorum. Aristoteles in Republica Atheniensium sic ait : « Rex curat primum mysteria cum curatoribus, qui a populo creantur numero quattuor, duo ex omnibus civibus Atheniensibus, tertius ex Eumolpidis, quartus e Cerycibus.

45.

Rex vero mysteriis præest cum curatoribus eorum, Lenæis et lampadis certaminibus et patria administrat sacrificia. Fiunt autem apud illum actiones impietatis, et de sacerdotii controversiis, sed et generibus et sacris omnibus ille jus dicit, et cædis actiones in Areopagum inducit, coronaque deposita simul cum illis judicat. Contendentibus porro interdicit a mysteriis et aliis legitimis abstinere, judicat et inanimatorum causas. Hujus conjugem reginam vocant.

νου δίκας εἰς Ἄρειον πάγον εἰσάγει καὶ τὸν στέφανον ἀποθέμενος σὺν αὐτοῖς δικάζει. Προαγορεύει δὲ τοῖς ἐν αἰτίᾳ ἀπέχεσθαι μυστηρίων καὶ τῶν ἄλλων νομίμων. Δικάζει δὲ καὶ τὰς τῶν ἀψύχων δίκας. Τὴν δὲ συνοικοῦσαν αὐτῷ βασίλισσαν καλοῦσιν.

Exscripsit hunc locum sive ex eodem fonte sive e Polluce Schol. Plat. Euthyphr. p. 325 Bekk., e quo plura in verbis Pollucis tentavit Rosius. Similia præbet Lex. Rhet. Seguer. p. 219, 14 Bekk. : Βασιλεύς : Βασιλεύς ἐστιν εἷς τῶν ἐννέα ἀρχόντων. Ὁ δὲ βασιλεὺς μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν οὓς ὁ δῆμος ἐχειροτόνησε. Γραφαὶ δὲ λαγχάνονται πρὸς αὐτὸν ἀσεβείας. Καὶ ἄν τις ἱερωσύνης ἀμφισβητήσῃ, προστιμᾷ. Διαδικάζει δὲ καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι τὰς ἀμφισβητήσεις τὰς ὑπὲρ τῶν γερῶν. Λαγχάνονται δὲ καὶ αἱ τοῦ φόνου δίκαι πᾶσαι πρὸς τοῦτον. Cf. præterea Photius s. v. Ἡγεμονία δικαστηρίου, p. 59, 11 (eadem Suidas et Lex. Rhet. Seguer. p. 310, 6): Τῷ μέντοι γε βασιλεῖ τάς τε φονικὰς καὶ τὰς τῆς ἀσεβείας, καὶ ἄν τις ἱερωσύνης ἠμφισβήτει· πρότερον δὲ καὶ τὰς περὶ τῶν ἱερῶν (γερῶν ut supra in Lex. Seg. emend. Meier, in libro *Attischer Process*, p. 49) τοῖς ἱερεῦσιν ἀμφισβητήσεις. Προηγόρευε δὲ καὶ τῶν νομίμων εἴργεσθαι τοὺς ἐν αἰτίᾳ. De feminino βασίλισσα cf. supra Quæst. homer. p. 150 fr. 46.

46 (415).

Harpocration s. v. Πολέμαρχος... Ἀρχή τις ἦν παρ' Ἀθηναίοις οὕτω καλουμένη, ἔστι δὲ εἷς τῶν θ' ἀρχόντων. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων Πολιτείᾳ, διεξελθὼν ὅσα διοικεῖ ὁ πολέμαρχος, « Πρὸς ταῦτα, φησίν, αὐτός τε εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις, καὶ τἆλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος. »

Eadem Photius et Suidas, sine Aristotelis mentione. Ad eundem Aristotelis locum spectat Harpocration s. v. Ἀποστασίου : Δίκη τίς ἐστι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν ἀφιστῶνταί τε ἀπ' αὐτῶν ἢ ἕτερον ἐπιγράφωνται προστάτην καὶ ἃ κελεύουσιν οἱ νόμοι μὴ ποιῶσιν. Καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι, τοὺς δὲ νικήσαντας τελέως ἤδη ἐλευθέρους... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων Πολιτείᾳ περὶ τοῦ πολεμάρχου γράφει ταυτί· « Οὗτος δὲ εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων, » ubi e priore loco supplendum est τοῖς μετοίκοις. Priora plenius exhibet Lex. Rhet. Seguer. p. 201, 5 Bekk. Cf. præterea Harpocrat. s. v. Ἡγεμονία δικαστηρίου, Lex. Rhet. Seguer. p. 310, 9, Harpocrat. s. v. Ἀπροστασίου, Pollux VIII, 91 : Ὁ δὲ πολέμαρχος θύει μὲν Ἀρτέμιδι ἀγροτέρᾳ καὶ τῷ Ἐνυαλίῳ, διατίθησι δὲ τὸν ἐπιτάφιον ἀγῶνα τῶν ἐν πολέμῳ ἀποθανόντων, καὶ τοῖς περὶ Ἁρμόδιον ἐναγίζει. Δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται μετοίκων, ἰσοτελῶν, προξένων. Καὶ διανέμει τὸ λαχόν, ἑκάστῃ φυλῇ τι μέρος, τὸ μὲν διαιτηταῖς παραδιδούς, εἰσάγων δὲ δίκας ἀποστασίου, ἀπροστασίου, κλήρων, μετοίκων. Lex. Rhet. Seguer. p. 290, 27 : Πολέμαρχος : Ἄρχων ἐστὶν Ἀθήνησι τῶν ἐννέα ἀρχόντων καὶ τῷ Ἐνυαλίῳ διατίθησι τὸν ἀγῶνα τὸν ἐπιτάφιον quæ aperte nimis contracta sunt. Aliunde fluxisse videtur quæ legitur altera apud Photium glossa v. Πολέμαρχος.

47 (416).

Harpocration s. v. Πάρεδρος... Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων Πολιτείᾳ φησί· « Λαμβάνουσι δὲ καὶ παρέδρους ὅ τε ἄρχων καὶ ὁ πολέμαρχος, δύο ἑκάτερος οὓς ἂν βούληται, καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν καὶ εὐθύνας διδόασιν ἐπὰν παρεδρεύωσιν (παρεδρεύσωσιν conjecit Bekker). »

Eadem Photius et Suidas et a tertia manu in margine adscripta in cod. Hesychii v. Εὐθύνας. Ceterum manca est glossa et e Polluce VIII, 92 supplenda et corrigenda : Πάρεδροι δ' ὀνομάζονται οὓς αἱροῦνται ἄρχων καὶ βασιλεὺς καὶ πολέμαρχος, δύο ἕκαστος οὓς βούλεται. Δοκιμασθῆναι δ' αὐτοὺς ἐχρῆν ἐν τοῖς πεντακοσίοις, εἶτ' ἐν δικαστηρίῳ. Προσαιροῦνται δὲ καὶ γραμματέα, ὃς ἐννόμῳ δικαστηρίῳ κρίνεται.

48 (417).

Harpocration s. v. Στρατηγοί... Οἱ καθ' ἕκαστον ἐνιαυτὸν χειροτονούμενοι στρατηγοὶ δέκα ἦσαν, ὡς μαθεῖν ἔστιν ἔκ τε τῶν Ὑπερίδου κατ' Αὐ-

---

46.

Polemarchus magistratus erat Athenis, unus de novem archontibus. Aristoteles in Republica Atheniensium, quæ polemarchus administraret persecutus, « Ad hæc, inquit, polemarchus introducit causas detrectati et neglecti patrocinii et hereditatum et pupillarum heredum inquilinis, et omnino quodcunque archon civibus, id præstat inquilinis polemarchus.

47.

Aristoteles in Republica Atheniensium scribit : Archon et Polemarchus binos singuli assessores suo arbitratu sumunt ; atque hi in judicio ante munus initum explorantur, et rationes reddunt muneris functi.

48.

Imperatores quoquo anno eligebantur decem, ut discere

τοκλέους καὶ ἐκ τῆς Ἀθηναίων Πολιτείας Ἀριστοτέλους.

Eadem omisso Aristotelis nomine apud Photium et Suidam.

49 (418).

Harpocration s. v. Ἵππαρχος... Λέγεται δὲ παρ' Ἀθηναίοις ἵππαρχος καὶ ὁ τῶν ἱππέων ἄρχων. Δύο δ' ἦσαν οὗτοι, ὡς Δημοσθένης ἐν δ' Φιλιππικῶν (I, 26) φησὶ καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ.

Photius s. v. Ἵππαρχοι: Δύο ἦσαν, οἱ τῶν ἱππέων ἡγοῦντο, διελόμενοι τὰς φυλὰς ἑκάτερος ἀνὰ πέντε· ἐπιμεληταὶ δέ εἰσι τῶν ἱππέων, καθάπερ οἱ ταξίαρχοι δέκα ὄντες, εἷς ἐφ' ἑκάστης φυλῆς τῶν ὁπλιτῶν, ubi post alterum ἱππέων inserendum est οἱ φύλαρχοι, collato Polluce VIII, 94 et Harpocratione v. Φύλαρχος.

50 (419).

Harpocration s. v. Φύλαρχος:... Φύλαρχός ἐστιν ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων, ὑποτεταγμένος δὲ τῷ ἱππάρχῳ, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ φησί. Cf. Photius s. v. Ἵππαρχοι et Pollux VIII, 94 : Ἵππαρχοι δὲ δύο ἐξ ἁπάντων Ἀθηναίων αἱρεθέντες ἐπιμελοῦνται τῶν πολέμων. Οἱ δὲ φύλαρχοι δέκα, εἷς ἀπὸ φυλῆς ἑκάστης, τῶν ἱππέων προΐστανται, καθάπερ οἱ ταξίαρχοι τῶν ὁπλιτῶν. Harpocrationis glossa apud Suidam quoque exstat, neglecta Aristotelis mentione. Cf. Lex. Rhet. Seguer. p. 313, 32 : Φύλαρχος: Ὁ κατὰ φυλὴν ἑκάστην τῆς ἵππου ἄρχων φύλαρχος καλεῖται· ἦσαν δὲ δέκα τὸν ἀριθμόν, ὑποτεταγμένοι τῷ ἱππάρχῳ.

51 (420).

Harpocration s. v. Πρυτανείας... Ἔστι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία ἤτοι λϛ' ἢ λε', καὶ ἑκάστη φυλὴ πρυτανεύει. Διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ.

In cod. A pro λϛ', λη' quod ex errore legitur quoque apud Schol. Plat. Legg. p. 459 Bekk.: Πρυτάνεις εἰσὶ μέρος τι τῶν πεντακοσίων τὸ δέκατον, πεντήκοντα ἄνδρες, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα, καὶ ἐπρυτάνευον κατὰ πρυτανείαν ἐκ διαδοχῆς. Πρυτανεία δέ ἐστιν ἀριθμός τις ἡμερῶν, ἤτοι λϛ' ἢ λη' ἢ λε', ἃς ἑκάστη φυλὴ πρυτανεύειν λέγεται. Ιβ' μὲν γὰρ οἱ μῆνες, ι' δέ εἰσι πρυτανεῖαι καὶ φυλαὶ ι'. Καὶ διῄρηνται εἰς ταύτας αἱ ἡμέραι τοῦ ἐνιαυτοῦ. Κατὰ γὰρ σελήνην ἄγουσι τοῦτον, ὡς ἑκάστῃ τῶν ι' φυλῇ ἐπιβάλλειν λε' ἡμέρας, πλεονάζειν δὲ ὀλίγας. Διὸ καὶ τὰς λοιπὰς ἀπέδωκαν οἱ Ἀθηναῖοι ταῖς πρώταις λαχούσαις τέσσαρσι φυλαῖς, ἵνα ἐκείνων μὲν ἑκάστη τὰς λϛ' ἡμέρας πρυτανεύῃ, αἱ δὲ λοιπαὶ ἓξ ἀνὰ λε'. Quæ omnia ut jam Grashofius suspicabatur (*Jahn's Jahrbücher für Philol. u. Pædag.* t. X, p. 133), non minus quam glossæ apud Photium, Suidam, Lex. Rhet. Seguer. p. 291, 11, paulo discrepantes, ad Aristotelem referenda sunt. Eadem fortasse et de Schol. Æschin. contra Timarch. § 104, p. 273 ed. Schultz valent: Ἐπειδὴ δέκα ἦσαν πρυτανεῖαι, ἑκάστης δὲ τούτων πεντήκοντα βουλευταί, ἄνδρες πεντακόσιοι πρυτανεύουσιν, ἕκαστος μῆνα καὶ ἡμέρας ἕξ, ἕως τὸ ἔτος περιέλθοι εἰς τὰς δέκα φυλάς. Ὁ δὴ χρόνος, ὃν ἄρχει ἡ μία φυλή, πρυτανεία καλεῖται. Καὶ μετροῦσι κοινότερον οὐ πρὸς μῆνας ἀλλὰ πρὸς πρυτανείας τούς τε μισθοὺς καὶ τόκους καὶ ἐνοίκια.

52 (421).

Harpocration s. v. Κυρία ἐκκλησία... Τίνες δὲ αἱ κύριαι ἐκκλησίαι, Ἀριστοτέλης δεδήλωκεν ἐν τῇ Ἀθηναίων Πολιτείᾳ, λέγων τοὺς πρυτάνεις συνάγειν τὴν βουλὴν καὶ τὸν δῆμον, τὴν μὲν βουλὴν ὁσημέραι, πλὴν ἐάν τις ἀφέσιμος ᾖ, τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. « Προγράφουσι (codd. προσγράφουσι) δέ, φησί, καὶ κυρίαν ἐκκλησίαν, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν οἳ δοκοῦσι μὴ καλῶς ἄρχειν, καὶ περὶ φυλακῆς δὲ τῆς χώρας. » Καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαί φησι καὶ τὰ ἑξῆς.

Eadem Photius et Suidas sine Aristotelis nomine; brevius apud Hesychium leguntur s. Κυρία ἐκκλησία· ἤγετο Ἀθήνησιν ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονεῖν ἔδει, quod corruptum (τοὺς ἄρχοντας ἐχειροτόνουν) recurrit apud Photium p. 191, 8

---

est ex Hyperidis Oratione contra Autoclem et ex Aristotelis Republica Atheniensium.

49.

Hipparchi sive equitum præfecti duo erant apud Athenienses, ut Demosthenes in Philippica quarta dicit et Aristoteles in Atheniensium Republica.

50.

Phylarchus, qui suæ tribus equitatui præfectus est subditus erat hipparcho, ut Aristoteles in Republica Atheniensium dicit.

51.

Prytania est numerus dierum XXXVI aut XXXV et unaquæque tribus Prytaniam administrat. De his disseruit Aristoteles in Republica Atheniensium.

ed. Porson., in Lexic. Rhet. Seguer. p. 274, 19, Etymol. M. p. 549, 5. Ad hoc et ad sequentia fragmenta spectant quæ ex Aristotele apud Pollucem leguntur VIII, 95-96 : Πρυτάνεις. Οὗτοι τὴν βουλὴν συνάγουσιν ὁσημέραι, πλὴν ἄν τις ᾖ ἄφετος, τὸν δὲ δῆμον τετράκις ἑκάστης πρυτανείας· καὶ προγράφουσι πρὸ τῆς βουλῆς καὶ πρὸ τῆς ἐκκλησίας ὑπὲρ ὧν δεῖ χρηματίζειν. Τῶν δ' ἐκκλησιῶν ἡ μὲν κυρία, ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονοῦσιν, εἴπερ καλῶς ἄρχουσιν, ἢ ἀποχειροτονοῦσιν· ἐν ᾗ καὶ τὰς εἰσαγγελίας ὁ βουλόμενος εἰσαγγέλλει, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγινώσκουσιν οἱ πρὸς ταῖς δίκαις, καὶ τὰς λήξεις τῶν κλήρων. Ἡ δὲ δευτέρα ἐκκλησία ἀνεῖται τοῖς βουλομένοις, ἱκετηρίαν θεμένοις, λέγειν ἀδεῶς περί τε τῶν ἰδίων καὶ τῶν δημοσίων. Ἡ δὲ τρίτη κήρυξι καὶ πρεσβείαις ἀξιοῖ χρηματίζειν, οὓς δεῖ πρότερον τοῖς πρυτάνεσιν ἀποδοῦναι τὰ γράμματα. Ἡ δὲ τετάρτη περὶ ἱερῶν καὶ ὁσίων. Ἐπιστάτης δ' ἐστὶν εἷς τῶν πρυτάνεων, ὁ κλήρῳ λαχών. Δὶς δ' οὐκ ἔξεστι γενέσθαι τὸν αὐτὸν ἐπιστάτην. Ἔχει δὲ οὗτος τῶν ἱερῶν τὰς κλεῖς ἐν οἷς τὰ χρήματα καὶ τὰ γράμματα. Καὶ ὅταν οἱ πρυτάνεις τὸν δῆμον ἢ τὴν βουλὴν συνάγωσιν, οὗτος ἐξ ἑκάστης φυλῆς πρόεδρον ἕνα κληροῖ, μόνην τὴν πρυτανεύουσαν ἀφιείς. Eadem usque ad ὁσίων, apud Schol. ad Æschin. c. Timarch. § 104, p. 272 ed. Schultz.

53 (422).

Lex. Rhet. Cantabr. p. 672, 3 : Κυρία ἡ ἐκκλησία : Δημήτριος ὁ Φαληρεὺς ἐν τῷ δευτέρῳ περὶ τῆς Ἀθηναίων Νομοθεσίας... Ἄμεινον οὖν Ἀριστοτέλει [addendum est πείθεσθαι] τὰς γὰρ ἀρχὰς ἐν ταῖς κυρίαις ἐκκλησίαις φησὶν ἐπιχειροτονεῖσθαι καὶ τὰς εἰσαγγελίας [τὸν βουλόμενον ποιεῖσθαι sive εἰσαγγέλλειν], καὶ τὰ ἄλλα τῶν ἀναγκαίων χρηματίζειν καὶ περὶ σίτου [καὶ] φυλακῆς τῆς χώρας, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγινώσκειν, καὶ τὰς λήξεις (cod. δείξεις) τῶν κλήρων. Ἐπὶ δὲ τῆς ἕκτης πρυτανείας πρὸς τοῖς εἰρημένοις καὶ περὶ τῆς ὀστρακοφορίας προχειροτονίαν, δίδοσθαι εἰ δοκεῖ ἢ μή [εἰσφέρειν τὸ ὄστρακον]. Locum depravatum emendavit Meierus l. l. p. 21.

54 (423).

Harpocration s. v. Ἐπιστάτης... Δύο εἰσὶν οἱ καθιστάμενοι ἐπιστάται, ὁ μὲν ἐκ πρυτάνεων κληρούμενος, ὁ δὲ ἐκ τῶν προέδρων, ὧν ἑκάτερος τίνα διοίκησιν διοικεῖ δεδήλωκεν ὁ Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ. Eadem Lex. Rhet. Seguer. p. 244, 32. Etymol. M. p. 364, 10, omisso Aristotelis nomine. Suidas s. v. Ἐπιστάτης : Τῶν πρυτάνεων εἷς ὁ λαχὼν ἐπιστάτης ἐλέγετο. Δὶς δὲ τὸν αὐτὸν ἐπιστατῆσαι οὐκ ἐξῆν· φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς ἐν ᾧ τὰ δημόσια χρήματα, ἔτι μὴν καὶ τὴν δημοσίαν σφραγῖδα. Ἐπειδὰν δὲ οἱ πρυτάνεις συναγάγωσι τὴν βουλὴν ἢ τὸν δῆμον, ὁ ἐπιστάτης κληροῖ προέδρους ἐννέα, ἀπὸ φυλῆς ἑκάστης ἕνα, πλὴν τῆς πρυτανευούσης. Καὶ πάλιν ἐκ τῶν ἐννέα τούτων ἐπιστάτην ἕνα κληροῖ καὶ τὸ πρᾶγμα παραδίδωσιν, αὐτὸς δὲ εἰσάγει την δίκην καὶ ἐπιμελεῖται κατὰ νόμον πάντα γενέσθαι καὶ μηδὲν παραλειφθῆναι πρὸς τὸ διδαχθῆναι τοὺς δικαστάς. Eadem hæc, iisdem pæne verbis, Telephus (cf. Müller. Fragm. hist. græc. t. III, p. 635), apud Eustathium in

52.

Quæ fuerint conciones κύριαι, (principales) quas vocant in Republica Atheniensium docet Aristoteles; dicit vero Prytanes senatum et populum convocare, et senatum quidem quotidie, nisi dies nefastus sit : populum vero quater intra spatium uniuscujusque prytaniæ. Proscribunt autem etiam κυρίαν ἐκκλησίαν, in qua magistratus abrogant qui male munere suo fungi videantur, et de regionis custodia agunt. Porro si quis publice nomen alicujus deferre velit, hoc eo die facere licet.

Prytanes senatum quotidie congregant, nisi qui dies nefastus fuerit et populum quater per singulas prytanias. Populo præscribunt ante senatum et ante concionem de quibus agendum sit. Concio vero κυρία dicitur ea in qua magistratus confirmant siquidem boni fuerint, aut abrogant : in qua et publicas causas quicunque voluerit recitare potest; et rescriptiones publicatorum bonorum recitabant qui de hereditatibus judicabant. Secunda concio habetur volentibus, supplicatione facta, intrepide loqui de privatis et publicis rebus. Tertia præconibus et legatis habetur, quos oportet et prius prytanibus scripta tradere. Quarta vero de sacris et sanctis habetur. Præfectus vero unus est prytanum sorte designatus. Eundem vero bis præfectum creari non licet. Habet autem hic sacrorum claves in quibus pecuniæ et tabulæ depositæ sunt. Quumque prytanes senatum aut populum convocant, hic ex singulis tribubus unum proedrum creat, excepta ea quæ est in imperio.

53.

Præstat Aristoteli fidem habere. Is enim dicit in concionibus quæ κύριαι vocantur, magistratus confirmari, et causas de criminibus publicis a quocunque qui voluerit deferri, deque aliis necessariis agi et de frumentis et de custodia regionis et libellos publicatorum recitari et sortes hereditatum, et decerni num ostracismi habendi causa sit necne.

54.

Duo constituti sunt epistatæ, unus e prytanibus sorte lectus, alter ex proedris. De muneribus utriusque exposuit Aristoteles in Republica Atheniensium.

Odyss. p. 1827 ed. Rom. : Προσενθυμητέον δὲ καὶ Τηλέφου τοῦ, ὡς ἱστορεῖται, Περγαμηνοῦ, ὅτι κατὰ τὴν ἐκείνου παράδοσιν νομική τις ἦν λέξις ἢ τεχνικὴ ἐν τοῖς μεθ' Ὅμηρον ὁ ἐπιστάτης· γίνεται γάρ, φησιν, Ἀθήνησιν ἐκ τῶν πρυτάνεων εἷς ὃς ἐπιστατεῖ νύκτα καὶ ἡμέραν μίαν, καὶ πλείω χρόνον οὐκ ἔξεστιν οὐδὲ δὶς τὸν αὐτὸν γενέσθαι, τάς τε κλεῖς [addendum est τῶν ἱερῶν] ἐν οἷς τὰ χρήματά εἰσι φυλάττει καὶ τὰ γράμματα τῆς πόλεως καὶ τὴν δημοσίαν σφραγῖδα. Κληροῖ δὲ καὶ προέδρους ἐξ ἑκάστης φυλῆς ἕνα, πλὴν τῆς πρυτανευούσης καὶ πάλιν ἐκ τούτων ἐπιστάτην ἕνα, quæ se satis ut ex Aristotele excerpta produnt.

55 (424).

Harpocration s. v. Πρόεδροι ἐκληροῦντο τῶν πρυτάνεων καθ' ἑκάστην πρυτανείαν εἷς ἐξ ἑκάστης φυλῆς πλὴν τῆς πρυτανευούσης, οἵτινες τὰ περὶ τὰς ἐκκλησίας διῴκουν. Ἐκαλοῦντο δὲ πρόεδροι, ἐπειδήπερ προήδρευον τῶν ἄλλων ἁπάντων. Πολλάκις δ' ἐστι τοὔνομα παρὰ τοῖς ῥήτορσιν... ὅτι δ' ὁ καλούμενος ἐπιστάτης κληροῖ αὐτούς, εἴρηκεν Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ.

Eadem Photius p. 452, 4 et Suidas omisso Aristotelis nomine. Altera glossa brevior apud Photium p. 451, 25 et Lex. Rhet. Seguer. p. 290, 8, apud quos, pro καθ' ἑκάστην πρυτανείαν, καθ' ἑκάστην ἐκκλησίαν legitur, quod frustra apud Harpocrationem restituere conatus est Luzacius, *De Socrate cive*, Lugd. Batav. 1796, p. 97. Cf. præterea Schol. Æschin. in Orat. c. Ctesiph. § 4, p. 316 Schultz.

56 (425).

Harpocration s. v. Γραμματεύς... Ὁ γραμματεὺς πῶς τε καθίστατο καὶ τί ἔπραττεν, ὡς τῶν γραμμάτων τ' ἐστὶ κύριος καὶ τὰ ψηφίσματα τὰ γενόμενα φυλάττει καὶ τὰ ἄλλα πάντα ἀντιγράφεται καὶ παρακάθηται τῇ βουλῇ, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ.

Γραμματέως et ἀντιγραφέως munera male hîc ab Harpocratione confusa esse animadvertit Rosius, collato Polluce VIII, 98 : Γραμματεὺς ὁ κατὰ πρυτανείαν κληρωθεὶς ὑπὸ τῆς βουλῆς ἐπὶ τῷ τὰ γράμματα φυλάττειν καὶ τὰ ψηφίσματα, καὶ ἕτερος ἐπὶ τοὺς νόμους ὑπὸ τῆς βουλῆς χειροτονούμενος. Ὁ δ' ὑπὸ τοῦ δήμου αἱρεθεὶς γραμματεὺς ἀναγινώσκει τῷ τε δήμῳ καὶ τῇ βουλῇ. Ἀντιγραφεὺς πρότερον μὲν αἱρετός, αὖθις δὲ κληρωτὸς καὶ πάντα ἀντεγράφετο παρακαθήμενος τῇ βουλῇ. Δύο δ' ἦσαν, ὁ μὲν τῆς βουλῆς, ὁ δὲ τῆς διοικήσεως. Cf. Bœckh. *Staatshaushaltung der Athener*, t. I, p. 254 sqq., Köhler. *Attische Inschriften*, *Hermes*, t. II, p. 29. Alia glossa apud Suidam legitur : Γραμματεύς : οὗτος πράξεως μὲν οὐδεμιᾶς ἦν κύριος, ὑπανεγίνωσκε δὲ τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ πραττόμενα· ὁ δ' ἀντιγραφεὺς καὶ οὗτος ἀπὸ τοῦ γράφειν παρὰ τῇ βουλῇ ὠνόμασται. Lex. Rhet. Seg. p. 185, 14 : Γραμματεύς : Ὁ ἀναγινώσκων τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ προστεταγμένα· κατὰ χρόνους ἠλλάσσετο. Ὁ δὲ καταγραφόμενος τὰ ἐν τῇ βουλῇ γενόμενα ἀντιγραφεὺς ἐλέγετο. Ibid. p. 226, 30 : Γραμματεύς : Καὶ τὸν γραμματέα ὁ δῆμος χειροτονεῖ, ἀναγνωσόμενον αὐτῷ καὶ τῇ βουλῇ. Καὶ οὗτος οὐδενὸς τὸ σύνολον ἄλλου ἐστὶ κύριος ἢ τοῦ ἀναγνῶναι. Ἔστιν οὖν ὁ ἀναγνώστης.

57 (426).

Harpocration s. v. Ἀντιγραφεύς : Ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα ὥστε ἀντιγράφεσθαι ταῦτα... Διττοὶ δὲ ἦσαν ἀντιγραφεῖς, ὁ μὲν τῆς διοικήσεως, ὥς φησι Φιλόχορος, ὁ δὲ τῆς βουλῆς, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ.

Eadem omisso Aristotelis et Philochori nomine Suidas s. v. et Lexic. Rhet. Seguer. p. 410, 3.

58 (427).

Harpocration s. v. Ἀποδέκται : Ἀρχή τίς ἐστι παρ' Ἀθηναίοις οἱ ἀποδέκται, ἧς πολλάκις μνημονεύουσιν οἱ ῥήτορες καὶ οἱ κωμικοί. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων Πολιτείᾳ δεδήλωκεν ὡς δέκα τε εἴησαν καὶ ὡς παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντ-

---

55.

Proedri a prytanibus, in singulas prytanias, sorte legebantur, ex qualibet tribu unus, excepta ea quæ prytaniam gerebat; qui curabant ea quæ ad comitia populi pertinebant. Appellabantur autem proedri, quod primam præ reliquis sedem tenebant. Frequens nomen est apud oratores... Eum autem qui vocabatur ἐπιστάτης, proedros sorte legisse Aristoteles in Republica Atheniensium dixit.

56.

De scribæ electione atque officio, quod tabularum penes eum potestas, et decretorum factorum custodia fuerit, ceteraque omnia contra scripserit ac senatui assederit, Aristoteles docuit in Republica Atheniensium.

57.

Contrascriptor, qui præpositus est illis, qui civitati pecuniam solvunt, ut eam transcribat... Erant autem bini, unus administrationis, ut ait Philochorus, alter senatus, ut Aristoteles in Republica Atheniensium.

58.

Ἀποδέκται, *receptores* magistratus fuit apud Athenien-

τίον ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ. Καὶ ἁπλῶς ἃ πράττουσι διασαφεῖ. Ὅτι δὲ ἀντὶ τῶν κωλακρετῶν οἱ ἀποδέκται ὑπὸ Κλεισθένους ἀπεδείχθησαν, Ἀνδροτίων β'. Ex Harpocratione, Suidas, omisso Aristotelis nomine.

Lex. Rhet. Seguer. p. 198, 1 : Ἀποδέκται : Ἄρχοντες κληρωτοί, δέκα τὸν ἀριθμὸν κατὰ φυλήν εἰσιν, οἵτινες παρελάμβανον καὶ ἀπεδέχοντο τὰ γραμματεῖα τῶν ὀφειλόντων τῷ δημοσίῳ. Διὰ τοῦτο γὰρ καὶ ἀποδέκται ἐκαλοῦντο. Εἶτα ἐξήταζον τά τε ὀφειλόμενα καὶ τὰ ἀποδιδόμενα χρήματα σὺν τῇ βουλῇ, καὶ ἐμέριζον εἰς ἃ χρὴ ἀναλίσκειν, quibus addit Suidas in altera glossa, t. I, p. 594, not. Bernh.: Καὶ γενομένης τῆς καταβολῆς τῶν ὀφειλομένων χρημάτων ἀπήλειφον τὰ γραμματεῖα δημοσίᾳ. Cf. Etym. M. p. 124, 41, Zonaras p. 234, Synag. Lex. Seg. p. 427, 13. Alia præbet Pollux VIII, 97 : Ἀποδέκται δὲ ἦσαν δέκα, οἳ τοὺς φόρους καὶ τὰς εἰσφορὰς καὶ τὰ τέλη ὑπεδέχοντο, καὶ τὰ περὶ τούτων ἀμφισβητούμενα ἐδίκαζον· εἰ δέ τι μεῖζον εἴη, εἰσῆγον εἰς δικαστήριον. Cf. Schol. Æschin. in Orat. c. Ctesiphont. § 26, p. 321 Schultz.

59 (428).

Harpocration s. v. Πωληταὶ καὶ πωλητήριον : Οἱ μὲν πωληταὶ ἀρχή τίς ἐστιν Ἀθήνησι, δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάστης. Διοικοῦσι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ τὰ δημευόμενα ... Διείλεκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ. Πωλητήριον δὲ καλεῖται τόπος ἔνθα συνεδρεύουσιν οἱ πωληταί.

Eadem Photius et Suidas, omissa Aristotelis mentione. Lex. Rhet. Seguer. p. 291, 17, post δημευόμενα addit : Καὶ φροντίζουσιν ὅπως ἡ τιμὴ τῶν πιπρασκομένων ἀποδοθῇ τῇ πόλει, et similiter Etym. M. p. 698, 57 : Πωληταί : Ἀρχή τις Ἀθήνησι· οἳ τὰ τῆς πόλεως πωλοῦσι καὶ φροντίζουσιν ἀποδιδόντες τῇ πόλει. Altera est præterea glossa apud Photium p. 478, 5 et Suidam : Πωληταί : Οὗτοι τῶν ὀφειλόντων τῷ δημοσίῳ κατὰ προθεσμίαν καὶ μὴ ἀποδιδόντων ἐπίπρασκον τὰς οὐσίας· ὑπέκειντο δὲ τοῖς πωληταῖς καὶ ὅσοι τὸ διαγραφὲν ἀργύριον ἐν πολέμῳ μὴ εἰσέφερον, ἔτι καὶ οἱ ξενίας ἁλόντες, καὶ ὁ μέτοικος προστάτην οὐκ ἔχων, καὶ ὁ ἀποστασίου γραφείς· τούτων γὰρ τὰς οὐσίας πωλοῦντες παρακατέβαλλον εἰς τὸ δημόσιον. Cf. præterea Pollux VIII, 99 : Πωληταὶ τὰ τέλη πιπράσκουσι μετὰ τῶν ἐπὶ τὸ θεωρικὸν ᾑρημένων, καὶ τὰς τῶν ἐξ Ἀρείου πάγου μετὰ τὸν πρότερον λόγον φυγόντων οὐσίας, καὶ τὰ δεδημευμένα. Πρυτανεύει δὲ ἐξ αὐτῶν εἷς ὃς τὰ πωλούμενα βεβαιοῖ. Ἀπήγοντο δὲ πρὸς τούτους καὶ οἱ μετοίκιον μὴ τιθέντες, quæ licet consentiant cum glossa apud Harpocrationem s. v. Μετοίκιον : Οἱ μέντοι μὴ τιθέντες τὸ μετοίκιον μέτοικοι ἀπήγοντο πρὸς τοὺς πωλητάς, καὶ εἰ ἑάλωσαν ἐπιπράσκοντο, ubi additur : Ὥς φησι Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος (§. 57-58), non tamen necessario e Demosthene derivata sunt.

60 (429).

Harpocration s. v. Ταμίαι : .... Ἀρχή τις παρ' Ἀθηναίοις ἦν οἱ ταμίαι, δέκα τὸν ἀριθμόν. Παραλαμβάνουσι δ' οὗτοι τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ. Εἰσὶ δέ τινες καὶ τῶν [ἱερῶν addendum videtur] τριήρων ταμίαι, ὡς ὁ αὐτὸς φιλόσοφός φησιν. Ὅτι δὲ καὶ τοῖς τριηράρχοις παρείποντο ταμίαι, δεδήλωκεν Εὔπολις ἐν Μαρικᾷ. Eadem Photius, Etym. M. p. 745, 16, Philemon Lex. Technol. p. 150 ed. Osann. Photius vero atque Suidas et ex parte Lexic. Rhetor. Seguer. p. 306, 7 alteram præterea glossam apponunt : Ταμίαι : Ἄρχοντές εἰσιν Ἀθήνησι κληρωτοὶ ἀπὸ τῶν πεντακοσιομεδίμνων, οἳ τὰ ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει χρήματα ἱερά τε καὶ δημόσια φυλάττουσιν, ἀλλὰ καὶ αὐτὸ τὸ ἄγαλμα τῆς Ἀθηνᾶς [καὶ τὸν κόσμον add. Lex. Seguer.]. Εἰσὶ δὲ ἄλλοι ταμίαι, ἄρχοντες χειροτονητοὶ ἐπὶ τὰς ἱερὰς καὶ δημοσίας τριήρεις, ὁ μὲν ἐπὶ τὴν Πάραλον, ὁ δὲ ἐπὶ τὴν τοῦ Ἄμμωνος. Ex

---

ses, cujus oratores et comici subinde meminerunt. Aristoteles vero in Republica Atheniensium ostendit denos fuisse, qui acceptis tabulis publicis, nomina debitorum post pecuniæ solutionem, in senatu coram senatoribus delebant, tabulasque iterum ærario tradebant. Idem reliqua eorum munera quæ fuerint exponit. Ceterum apodectæ in locum colacretarum a Clisthene subrogati, ut Androtion libro secundo testatur.

59.

Erant Athenis πωληταί *venditores*, certus quidam magistratus, decem numero viri, ex singulis tribubus unus, qui omnia quæ a civitate vendebantur administrabant, ut vectigalia, metalla, redempturas et quæ publicabantur. De iis disseruit Aristoteles in Republica Atheniensium. Πωλητήριον vero appellabatur locus, ubi πωληταί considere solent.

60.

Ταμίαι (*quæstores*); magistratus fuerant apud Athenienses quæstores, decem numero, qui Minervæ simulacrum et victorias aliaque ornamenta et pecunias in conspectu senatus recipiebant, ut ait Aristoteles in Republica Atheniensium. Sunt etiam triremium sacrarum quæstores, eodem philosopho teste. Trierarchis quoque adjunctos fuisse declarat Eupolis in Marica.

eodem fonte Pollux VIII, 97. Ταμίαι τῆς θεοῦ κληρωτοὶ μὲν ἐκ πεντακοσιομεδίμνων ἦσαν, τὰ δὲ χρήματα παρελάμβανον τῆς βουλῆς παρούσης. Ἐκαλοῦντο δ' οὗτοι κωλακρέται. Εἶχον δ' ἐξουσίαν καὶ ζημίαν ἀφελεῖν, εἰ ἀδίκως ὑπὸ τῶν ἀρχόντων ἐπιβληθείη, et ibid. 116 : Ταμίας ἐκάλουν τοὺς ταῖς ἱεραῖς τριήρεσι λειτουργοῦντας, ἄλλους ἢ τριηράρχους. Καὶ οἱ ἐκ τῆς Παράλου καὶ τῆς Σαλαμινίας ναῦται ἐκαλοῦντο οἱ μὲν οὐ πάραλοι μόνον, ἀλλὰ καὶ παραλῖται, οἱ δὲ Σαλαμίνιοι.

61 (430).

Lex. Rhet. Cantabr. p. 675, 28 : Πάραλος καὶ Σαλαμινία : Ταύτας τὰς τριήρεις εἶχον διὰ παντὸς πρὸς τὰς ἐπειγούσας ὑπηρεσίας, ἐφ' αἷς καὶ ταμίαι τινὲς ἐχειροτονοῦντο· ἐχρῶντο δὲ αὐταῖς εἰ δέοι στρατηγὸν μεταπέμψασθαι κριθησόμενον, ὥσπερ Ἀλκιβιάδην. Ἡ δὲ Πάραλος καὶ ἀπό τινος ἥρωος ἐπιχωρίου ἐκλήθη. Τῆς μὲν Παράλου καὶ Σαλαμινίας ἐν τρίτῃ μνημονεύει Θουκυδίδης (III, 33 et 77) καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν (v. 1204), Ἀριστοτέλης δὲ Ἀμμωνιάδα καὶ Πάραλον οἶδε καὶ Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους. Φιλόχορος δὲ ἐν τῇ ϛ' (fr. 130 Müller), τέτταρας αὐτὰς οἶδε, πρώτας μὲν δύο Ἀμμωνιάδα καὶ Πάραλον, προσγενομένας δὲ Δημητριάδα καὶ Ἀντιγονίδα. Ἐκαλοῦντο δὲ οἱ ἐμπλέοντες τῇ Παράλῳ Πάραλοι, ὡς καὶ παρ' Αἰσχίνῃ (adv. Ctesiph. § 162), οἱ δ' ἐν τῇ Σαλαμινίᾳ Σαλαμίνιοι.

Οἱ δ' ἐν emendatio est Mülleri : in codice legitur οἷον. Pro Ἀμοριάδα quod utroque loco in codice est Ἀμμωνιάδα posuit Meierus l. l. collato Photio in quo et alia rectius se habere videntur, s. v. Πάραλος : Ἱερὰ τριήρης ὥσπερ καὶ ἡ Σαλαμινία· ἦσαν δὲ καὶ ἄλλαι τριήρεις δύο Ἀντιγονὶς καὶ Δημητριάς, ἔτι δὲ καὶ Ἀμμωνιάς· ἀλλ' ἡ μὲν Πάραλος ἐπέμπετο πρὸς τὰς θεωρίας, εἴς τε Δῆλόν φημι καὶ Ὀλυμπίαν· ἡ δὲ Σαλαμινία πρὸς τὸ μεταπέμπεσθαι τοὺς ἐξ αὐτῆς Ἀττικοὺς (male ἐξ αὐτῆς Ἀττικῆς conjec. Naber. corrig. ἐν αὐτῇ τοὺς στρατηγοὺς) ἀδικεῖν δοκοῦντας· ἐπολέμουν δὲ ὅμως καὶ αὗται αἱ τριήρεις, et Ulpian. ad Demosthen. c. Midiam p. 570, 3. Ἀμμωνὶς legitur apud Harpocrationem s. v. et Dinarchum. In alia glossa apud Photium eandem fuisse Salaminiam et Ammoniada affirmatur s. v. Πάραλοι : οἵ τε ἐν τῇ νηὶ τῇ Παράλῳ πλέοντες καὶ οἱ τὴν Παράλιον τῆς Ἀττικῆς κατοικοῦντες (cf. Hesych. s. v. Πάραλοι et Schol. Æschin. adv. Ctesiph. § 162), ὥσπερ ἕτεροι Πεδιάσιοι καὶ Διάκριοι. Πάραλος δὲ τριήρης ἱερὰ καλεῖται, ἥτις διηνεκῶς ταῖς ἐπειγούσαις χρείαις ὑπηρετεῖ. Ὁπότε δὲ ἐκ τῆς ἀλλοδαπῆς μεταπέμψασθαι στρατηγὸν ἐβούλοντο, ὥσπερ Ἀλκιβιάδην ἀπὸ Σικελίας, τῇ Παράλῳ (immo τῇ Ἀμμωνιάδι quum Πάραλος ad theorias emitteretur cf. Schol. Aristoph. Av. v. 147 : Δύο εἰσὶ νῆες ὑπηρέτιδες παρὰ τοῖς Ἀθηναίοις, ἡ Πάραλος καὶ ἡ Σαλαμινία. Ὧν ἡ μὲν Σαλαμινία τοὺς ἐκκαλουμένους εἰς κρίσιν ἦγεν, ἡ δὲ Πάραλος τὰς θεωρίας ἀπῆγεν) ἐχρῶντο· λέγεται δὲ ἡ αὐτὴ (scil. ἡ Ἀμμωνιάς) καὶ Σαλαμινία. Ὕστερον δὲ ἄλλαι δύο προσεγένοντο αὐταῖς, Ἀντιγονίς τε καὶ Δημητριάς. De Ammoniade cf. Harpocration s. v. Ἀμμωνίς : Ἡ τοῦ Ἄμμωνος (Phot. s. v. Ταμίαι, τὴν τοῦ Ἄμμωνος) ἱερὰ τριήρης. Δείναρχος ἐν τῷ κατὰ Ἱμεραίου. Schol. Demosthen. in Orat. c. Mid. § 171 : Καὶ Ἀμμωνιὰς ἐπειδὴ τῷ Ἄμμωνι δι' αὐτῆς τὰς θυσίας ἔπεμπον. Ejus nomen in Atticam civitatem receptum esse, quum Alexander Ammonis filium perhiberi se dicique jussisset acute suspicatus est Grashofius in *Jahn's Jahrbüch. für Philol.* t. X, p. 166, eoque dictam esse navem qua theori ad Alexandrum Ammonis filium missi veherentur, id quod fere Olymp. 112, 2 factum fuerit. Unde si vere sunt disputata colligitur Ammoniadis nomen etiamnum vivente Aristotele pro Salaminia in usum venisse. Nimis tamen lubrica res esset, si quis hoc indicio fretus de tempore quo editæ sint Politiæ disputare institueret, sive etiam, quod a Rosio factum est, hoc argumento uteretur ut Politiarum opus Aristoteli abjudicaret. Eodem enim modo quo apud Photium male Paralus pro Ammoniade nominatur, leviori etiam errore apud auctorem Lexici rhetorici Ammonias pro Salaminia nominari potuit, quippe qui quum in fonte unde sua hausit ita legisset : Ἀριστοτέλης δὲ Σαλαμινίαν ἣ ὕστερον Ἀμμωνιὰς ἐκλήθη καὶ Πάραλον οἶδε, alterum fortasse tantummodo nomen in excerpta sua retulerit. Ceterum de re cf. præter Meier. l. l. Bœckh. *Urkunden über das Seewesen* p. 78 et *Staatshaushaltung der Athener*, t. I, p. 340.

---

61.

Paralus et Salaminia. Has triremes perpetuo ad ministeria celeriter exsequenda paratas habebant. Earum etiam quæstores quosdam eligebant. Ceterum utebantur his navibus, si imperator arcessendus esset, uti verbi causa Alcibiades. Paralus nomen habet a Paralo heroe indigena. Parali et Salaminiæ libro tertio meminit Thucydides et Aristophanes in Avibus. Aristoteles vero et Dinarchus in Oratione contra Timocratem Ammoniadem et Paralum memorant. Philochorus autem libro sexto quattuor naves sacras novit, primum quidem Ammoniada et Paralum, quibus deinde accesserunt Demetrias et Antigonis. Nautæ Parali navis nominabantur Parali, ut est etiam apud Æschinem, similiterque Salaminiæ nautæ, Salaminii.

62 (431).

Etymol. M. p. 468, 56 : Ἱεροποιοί : Κληρωτοὶ ἄρχοντές εἰσι δέκα τὸν ἀριθμόν, οἵ τά τε μαντεύματα ἱεροθυτοῦσι, κἄν τι καλλιερῆσαι δέῃ καλλιεροῦσι μετὰ τῶν μάντεων καὶ θυσίας τὰς νομιζομένας ἐπιτελοῦσι καὶ τὰς πενταετηρίδας ἁπάσας διοικοῦσι πλὴν Παναθηναίων. Ταῦτα δὲ Ἀριστοτέλης ἱστορεῖ ἐν τῇ Ἀθηναίων Πολιτείᾳ. Δημοσθένης ἐν Φιλιππικῶν δ' (IV, § 26)· « Οἱ λοιποὶ τὰς πομπὰς πομπεύουσιν ὑμῖν μετὰ τῶν ἱεροποιῶν. » Μὴ ἀγνοῶμεν δὲ ὅτι καὶ ἄλλοι εἰσὶν ἱεροποιοὶ τῶν σεμνῶν θεῶν τὸν ἀριθμὸν δέκα. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου (§ 115)· « Περιεῖδε ταῖς σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντα ἐξ Ἀθηναίων ἁπάντων, τρίτον αὐτὸν καὶ κατερξάμενον. » Δείναρχος δὲ ἐν τῷ κατὰ Λυκούργου εὐθυνῶν φησί· « Καὶ τὰς σεμνὰς θεὰς αἷς ἐκεῖνος ἱεροποιὸς καταστὰς δέκατος αὐτός. »

Priora usque ad Παναθηναίων Lex. Rhet. Seguer. p. 265, 22 et Photius s. v. Ad Aristotelem item referendus Pollux VIII, 107 : Ἱεροποιοί : Δέκα ὄντες οὗτοι ἔθυον θυσίας πεντετηρίδας, τὴν εἰς Δῆλον, τὴν ἐν Βραυρῶνι, τὴν τῶν Ἡρακλείων, τὴν Ἐλευσῖνι.

63 (432).

Harpocration s. v. Εὔθυναι : .... Εὐθύνης ὄνομα ἀρχῆς παρ' Ἀθηναίοις. Δέκα τὸν ἀριθμὸν ἦσαν ἄνδρες, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες ἢ ἄρξαντες ἢ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας. Διείλεκται περὶ αὐτῶν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ.

Eadem brevius Photius p. 32, 26 ed. Porson. Suidas et Etymol. M. p. 391, 52. Cf. Phot. p. 31, 20 : Εὔθυνος : Ἀρχή ἦν τις. Ἐξ ἑκάστης δὲ φυλῆς ἕνα κληροῦσι, τούτῳ δὲ δύο παρέδρους. Lex. Rhet. Seguer. p. 257, 15 : Εὔθυνοι ἄρχοντές εἰσιν οἱ τὰς εὐθύνας λαμβάνοντες παρὰ τῶν ἀρχόντων, ὥσπερ οἱ λογισταί. Pollux VIII, 100.

64 (433).

Harpocration s. v. Λογισταὶ καὶ Λογιστήρια : Ἀρχή τις παρ' Ἀθηναίοις οὕτω καλουμένη· εἰσὶ δὲ τὸν ἀριθμὸν δέκα, οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις λ', ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (§ 117). Διείλεκται περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ, ἔνθα δείκνυται ὅτι διαφέρουσι τῶν εὐθυνῶν. Μέμνηνται τῆς ἀρχῆς καὶ οἱ κωμικοί. Εὔπολις Πόλεσιν· « Ἄνδρες λογισταὶ τῶν ὑπευθύνων χορῶν. » Λογιστήρια δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῶν μυστηρίων (§ 78) δηλοῦσιν. Eadem Photius, Suidas s. v. omisso Aristotelis nomine et Schol. Æschin. contra Ctesiph. § 15, p. 80, 2 Dind. qui post δέκα addit : Ἑκάστης φυλῆς εἷς. Cf. Lex. Rhet. Seguer. p. 276, 17 : Λογισταί : Ἄρχοντές εἰσι κληρωτοί, δέκα τὸν ἀριθμόν, ἐφ' ὧν πάντες οἱ ἄρξαντες ἀρχὴν ἡντινοῦν λόγον ἀπέφερον τῶν διῳκημένων, ibid. p. 245, 6.

65 (434).

Lexic. Rhet. Cantabr. p. 672, 20 : Λογισταὶ καὶ Συνήγοροι : Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ οὕτω λέγει· « Λογισταὶ δὲ αἱροῦνται δέκα, παρ' οἷς διαλογίζονται πᾶσαι αἱ ἀρχαὶ τά τε λήμματα καὶ τὰς γεγενημένας δαπάνας. Καὶ ἄλλοι δέκα συνήγοροι (cod. ἄλλοις... συνηγόροις), οἵτινες συνανακρίνουσι τούτοις. Καὶ οἱ τὰς εὐθύνας διδόντες παρὰ τούτοις ἀνακρίνονται (ἀνακρίνοντες cod.) πρῶτον, εἶτα ἐφίενται εἰς τὸ δικαστήριον, εἰς ἕνα καὶ φ'.

Præter locos jam ad præcedens fragmentum laudatos cf. Etym. M. p. 569, 31, Poll. VIII, 99, Lex. Rhet. Seg. p. 310, 6. Ad ea quæ in Lex. Rhet. Cantabr. leguntur pertinet Schol. Ari-

---

62.

Sacrifici, magistratus sorte lecti decem numero, qui vaticiniorum causa sacra instituunt, et si litare oportet litant cum vatibus, et sacrificia usu sancita faciunt, et quinquennalia festa adornant omnia præter Panathenæa. Hæc Aristoteles tradit in Republica Atheniensium.

63.

Εὔθυναι. Nomen magistratus apud Athenienses. Erant decem numero, apud quos qui legatione functi erant, aut magistratum gesserant aut aliquid rerum publicarum administraverant, rationes reddebant. Disserit de iis Aristoteles in Republica Atheniensium.

64.

Λογισταὶ et λογιστήρια. Logistæ magistratus quidam apud Athenienses. Decem erant, qui rationes rerum administratarum subducebant intra triginta dierum spatium postquam magistratus munere decesserant. Demosthenes in Oratione pro Ctesiphonte. Disserit de iis Aristoteles in Republica Atheniensium, ubi demonstratur logistas diversos esse ab euthynis ... Logisteria vero sunt curiæ logistarum.

65.

Aristoteles in Republica Atheniensium ita scribit : Logistæ suffragiis creantur decem, apud eosque rationes pecuniæ acceptæ et expensæ a magistratibus reddeban-

stoph. Vesp. v. 691 : Κληρωτοὺς δὲ γενομένους δέκα συνηγόρους Ἀριστοτέλης φησίν, cum quo conferendum est Lex. Rhet. Seguer. p. 301, 4 : Συνήγοροι ἄρχοντες ἦσαν κληρωτοί, οἳ τοῖς λογισταῖς ἐβοήθουν πρὸς τὰς εὐθύνας τῶν ἀρξάντων τινὰ ἀρχήν.

66 (435).

Harpocration s. v. Ἀστυνόμος ... Δέκα φησὶν εἶναι τοὺς ἀστυνόμους Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ, πέντε μὲν ἐν Πειραιεῖ, πέντε δ' ἐν ἄστει. Τούτοις δέ φησι μέλειν περί τε τῶν αὐλητρίδων καὶ τῶν ψαλτριῶν καὶ τῶν κοπρολόγων καὶ τῶν τοιούτων.

Eadem Suidas et Synag. Lex. Seguer. p. 455, 24 omisso Aristotelis nomine : brevius etiam Hesychius : Ἀστυνόμος. Ὁ διοικῶν κατὰ τὸ ἄστυ. De numero astynomorum cf. Bœckh. C. I. t. I, p. 337, B.

67 (436).

Photius p. 404, 16, s. v. Πεζὰς μόσχους : Ἀντὶ τοῦ ἑταίρας· ἐλέγοντο γάρ τινες οὕτως, ὡς Ἀριστοτέλης ἐν Πολιτείᾳ, τὰς χωρὶς ὀργάνων. Κάνθαρος Συμμαχίᾳ· « Αὐλητρίδα πεζήν », καὶ Εὔπολις Κόλαξι.

Idem brevius Hesychius s. v. Πεζὰς μόσχους· Οὕτως ἐκάλουν τὰς μισθαρνούσας ἑταίρας χωρὶς ὀργάνου. Ad eandem glossam pertinent quæ paulo post apud Photium, p. 405, 1 alieno loco leguntur : Τὰς ἑταίρας τὰς μὴ μουσικάς, ἀλλ' ἄνευ ὀργάνων καὶ ψιλάς, πεζὰς καλοῦσιν. Cf. Etym. M. p. 658, 36 : Πεζαὶ ἑταῖραι αἱ χωρὶς ὀργάνων εἰς τὰ συμπόσια φοιτῶσαι, Schol. Eurip. Alcest. 460, Theopompus apud Athen. XII, p. 532 (fr. 238 Müller). Ab Aristotele alienam hanc glossam putat Rosius, ita ut apud Photium legendum sit pro Ἀριστοτέλης ἐν Πολιτείᾳ, Ἀριστοφάνης ἐν Πόλεσιν. Non autem video cur non et philosophus hanc rem tangere potuerit.

68 (437).

Harpocration s. v. Ἀγορανόμοι : Οἱ τὰ κατὰ τὴν ἀγορὰν ὤνια διοικοῦντες ἄρχοντες. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (§ 112). Ἀριστοτέλης δ' ἐν Ἀθηναίων Πολιτείᾳ κληροῦσθαί φησι πέντε μὲν εἰς Πειραιᾶ, πέντε δὲ εἰς ἄστυ.

Priora tantum verba habent Suidas, Synag. Lex. Seg. p. 330, 13, Etymol. M. p. 13, 9 et Lex. Rhet. Seg. p. 199, 24. De agoranomis Theophrastus quoque locutus erat in opere περὶ Νόμων testibus Harpocratione, Photio, Suida s. v. Κατὰ τὴν ἀγορὰν ἀψευδεῖν.

69 (438).

Harpocration s. v. Ἐπιμελητὴς ἐμπορίου ... Ἀριστοτέλης· « Ἐμπορίου δ' ἐπιμελητὰς δέκα κληροῦσιν· τούτοις δὲ προστέτακται τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ Ἀττικὸν ἐμπόριον τὰ δύο μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν. »

Eadem sine Aristotelis nomine Suidas s. v. Etymol. M. p. 362, 2. Lex. Rhet. Seguer. p. 255 22, ubi pro Ἀττικὸν ἐμπόριον, male ἀστικὸν legitur, et Suidas in altera glossa, post δέκα hæc addunt : Τὸν ἀριθμόν, ἑκάστου ἔτους καθιστάμενοι, deinde οἷς προσετέτακτο.

70 (439).

Harpocration s. v. Σιτοφύλακες ... Ἀρχή τις ἦν Ἀθήνησιν, ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. Ἦσαν δὲ τὸν ἀριθμὸν ιε', ι' μὲν ἐν ἄστει, ε' δ' ἐν Πειραιεῖ, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ.

---

tur. Adjunctos habebant decem synegoros sive assessores, qui cum logistis rationes ipsis subjectas examinabant. Apud hos igitur primum rationes magistratus reddebant, deinde ab iisdem deducebantur in judicium quod erat virorum unius et quingentorum.

Aristoteles decem (logistarum) assessores sorte legi dicit.

66.

Decem esse astynomos dicit Aristoteles in Republica Atheniensium, quinque in Piræeo, quinque in urbe : curæ iis esse dicit tibicinas, psaltrias, stercorilegos et horum similes.

67.

Πεζὰς μόσχους, meretrices; ita quædam appellabantur, ut Aristoteles in Republica dicit, eæ scilicet quæ absque instrumentis artem suam quasi nudam exercebant.

68.

Agoranomi, magistratus qui res in foro venales administrant. Aristoteles in Republica Atheniensium sorte eos eligi dicit, quinque in Piræeum, et quinque in urbem.

69.

Aristoteles : « Decem emporii curatores sorte legunt, quibus id negotii datum est, ut emporiorum curam habeant et frumenti, quod in Atticum emporium advehatur, duas partes in urbem mercatores deferre cogant. »

70.

Sitophylaces magistratus erant Athenis, qui curabant ut frumentum, farinæ et panes justo pretio venderentur; eorumque quindecim erant, decem in urbe, quinque in Piræeo, uti Aristoteles in Republica Atheniensium refert.

Eadem Photius et Suidas omisso nomine Aristotelis. Ι' post ιε' addidit Valesius. Apud Photium ultima sic leguntur : Ἦσαν δὲ τὸν ἀριθμὸν πάλαι μὲν πεντεκαίδεκα, [ι'] ἐν ἄστει, πέντε δὲ ἐν Πειραιεῖ, ὕστερον δὲ λ' μὲν ἐν ἄστει, ε' δὲ ἐν Πειραιεῖ, ubi pro ε', ι' corrigendum censet Rosius, collato Plutarcho V. Lysandri c. 15 : Τριάκοντα μὲν ἐν ἄστει δέκα δὲ ἐν Πειραιεῖ. Aliter de hac re judicarunt Bergkius, *De reliquiis com. Att. ant.* p. 18, qui ιε' voluit, Bœckhius, *Staatshaushalt. der Athener,* t. I, p. 118, qui locum ita constitutum fuisse putat : Ἦσαν δὲ τὸν ἀριθμὸν πάλαι μὲν τρεῖς, ὕστερον δὲ πεντεκαίδεκα, δέκα μὲν ἐν ἄστει, πέντε δὲ ἐν Πειραιεῖ, comparato Lysia Orat. XII, § 8. Cf. Vœmel, *Zeitschrift für Alterthumsw.* 1852, p. 32, Dobr. in Advers. et Dindorf. ad Harpocrat. t. I, p. 274. Ab Harpocratione differt glossa Lex. Rhet. Seg. p. 300, 19 : Σιτοφύλακες : Ἄρχοντες Ἀθήνησι κληρωτοί. Οὗτοι δ' ἐπεμελοῦντο, ὅπως ὁ σῖτος δικαίως πραθήσεται, καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι κατὰ τὰς ὡρισμένας τιμὰς καὶ τὸν σταθμόν.

71 (440).

Harpocration s. v. Μετρονόμοι : Ἀρχή τις Ἀθήνησίν ἐστιν ἡ τῶν μετρονόμων, ὡς Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. Ἦσαν δὲ τὸν ἀριθμὸν ιε', εἰς μὲν τὸν Πειραιᾶ ε', ι' δ' εἰς ἄστυ· εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια εἴη τὰ μέτρα τῶν πωλούντων, ὡς καὶ Ἀριστοτέλης, ἐν τῇ Ἀθηναίων Πολιτείᾳ δηλοῖ.

Numeri et hic in codd. corrupti, quum pro ε', ι' et mox ε' pro ι' præbeant, excepto D quem, ut solent, sequuntur Photius p. 265, 4 et Suidas : ιε' μὲν εἰς Πειραιᾶ, θ' δὲ εἰς ἄστυ. Altera glossa apud Photium p. 264, 25 : Ἄρχοντες ἦσαν δέκα τὸν ἀριθμόν, ὧν πέντε μὲν ἐν ἄστει, πέντε δ' ἐν Πειραιεῖ, cum qua consentit Lex. Rhet. Seguer. p. 278, 25, nisi quod incipit ἀρχή τις Ἀθήνησι κληρωτὴ ἡ τῶν μετρονόμων. De utroque numero cf. Bœckh. *Staatshaush.* t. I, p. 70, not. c.

72 (441).

Harpocration s. v. Κατὰ δήμους δικαστάς ... Περὶ τῶν κατὰ δήμους δικαστῶν, ὡς πρότερον μὲν ἦσαν τριάκοντα καὶ κατὰ δήμους περιιόντες ἐδίκαζον, εἶτα ἐγένοντο τετταράκοντα, εἴρηκεν Ἀριστοτέλης ἐν τῇ [Ἀθηναίων] Πολιτείᾳ.

Eadem Suidas omisso Aristotelis nomine. Pollux VIII, 100 : Οἱ δὲ τετταράκοντα πρότερον μὲν ἦσαν τριάκοντα, οἳ περιιόντες κατὰ δήμους τὰ μέχρι δραχμῶν δέκα ἐδίκαζον, τὰ δὲ ὑπὲρ ταῦτα διαιτηταῖς παρεδίδοσαν· μετὰ δὲ τὴν τῶν τριάκοντα ὀλιγαρχίαν μίσει τοῦ ἀριθμοῦ τοῦ τριάκοντα τετταράκοντα ἐγένοντο. Cf. Photius p. 135, 25 s. v. Κατὰ δήμους δικασταί, p. 581, 20 s. v. Τετταράκοντα : Κληρωτή τις ἦν Ἀθήνησιν ἀρχὴ μ' τὸν ἀριθμόν, οἳ τὰς ἰδιωτικὰς δίκας ἐδίκαζον· ἀλλὰ τὰς μὲν ἄχρι δέκα δραχμῶν αὐτοτελεῖς ἦσαν δικάζειν, τὰς δὲ ὑπὲρ ταύτας τοῖς διαιτηταῖς παρεδίδουν. Lex. Rhet. Seg. p. 306, 15 : Τεσσαράκοντα τίνες εἰσίν : Ἀρχή τίς ἐστι κληρωτὴ μ' τὸν ἀριθμὸν πρὸς οὓς αἱ ἴδιαι δίκαι ἐλαγχάνοντο καὶ τὰ μέχρι δέκα δραχμῶν· τὰ δ' ὑπὲρ τοῦτο τὸ τίμημα τοῖς δικασταῖς (sic male pro διαιτηταῖς cf. fragm. 73) παραδιδόασιν. De alia Photii glossa p. 599, 11 : Τριάκοντα : Πρῶτοι μὲν οἱ κατὰ πόλιν δικασταί, δεύτεροι οἱ κατὰ δήμους τριάκοντα, τῆς ἐκκλησίας ἐπιμελούμενοι μετὰ τῶν ληξιάρχων· οὕτως Φρύνιχος, ubi novissimus Photii editor pro Φρύνιχος, Φιλόχορος itemque πρῶτον μὲν — δεύτερον δὲ legendum esse censet, cf. Meier. *Der attische Process,* p. 80.

73 (442).

Harpocration s. v. Διαιτηταί.... Εἰσὶ δὲ οἱ διαιτηταὶ ἕτεροι τῶν δικαστῶν· οὗτοι μὲν γὰρ ἐν δικαστηρίοις ἐδίκαζον ἀποδεδειγμένοις καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ἔκρινον, οἱ δὲ διαιτηταὶ πρότερον κλήρῳ λαχόντες ἢ ἐπιτρεψάντων αὐτοῖς τῶν κρινομένων τοῖς κρινομένοις διῄτουν. Καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μή, τὰ ἐγκλήματα καὶ τὰς προκλήσεις καὶ τὰς μαρτυρίας, ἔτι δὲ

---

71.

Metronomi, magistratus Athenis, qui mensuris præfecti, teste Dinarcho in Oratione adversus Callisthenem. Erant autem quindecim, quinque in Piræeo, decem in urbe; curabantque ut mensuræ vendentium justæ essent, quod Aristoteles quoque in Republica Atheniensium docet.

72.

De judicibus κατὰ δήμους, qui primum triginta, deinde quadraginta fuerunt, et singulos pagos obeuntes jus dicebant, Aristoteles dixit in Republica Atheniensium.

73.

Arbitri a judicibus diversi sunt : nam judices in assignatis foris judicabant, litesque ab arbitris ad se translatas discernebant; arbitri vero ante sorte lecti quam ii, quorum de re agitur, se iis permitterent, arbitrium reddebant, et si litigantibus placuisset, finem liti imponebant; sin minus, crimina et citationes et testimonia et leges et alias utriusque probationes in echinum conjectas atque obsignatas litium introductoribus tradebant. De his Aristoteles in Republica Atheniensium disserit.

καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίστεις ἑκατέρων ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν. Λέγει δὲ περὶ αὐτῶν Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ.

Eadem omisso Aristotelis nomine Suidas s. v. Pollux VIII, 126 : Διαιτηταὶ δ' ἐκ τῶν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότων ἐκληροῦντο, καὶ ἐπεκληροῦντο αὐτοῖς αἱ δίαιται, καὶ ἀτιμία ἀφώριστο τῷ μὴ διαιτήσαντι τὴν ἐπικληρωθεῖσαν δίαιταν. Διήτων (ita Kuhnius, e conjectura pro τῶν) δ' ἐν ἱεροῖς. Πάλαι δ' οὐδεμία δίκη πρὶν ἐπὶ διαιτητὰς ἐλθεῖν εἰσήγετο. Ἔλεγον δὲ ἐπιτρέψαι δίαιταν καὶ ἡ δίαιτα ἐκαλεῖτο ἐπιτροπή. Ἡ δ' ἔφεσις αὐτῶν εἰ εἰς δικαστήριον γένοιτο, εἰς ἐχῖνον τὰς ψήφους ἐμβαλόντες ἰδίᾳ ἑκατέρας τὰς τοῦ φεύγοντος καὶ διώκοντος κατεσημαίνοντο. Ἐλάμβανον δὲ οἱ διαιτηταὶ δραχμὴν παρὰ τοῦ κρίνοντος, τὴν καλουμένην παράστασιν, ἐγγράψαντος αὐτοῦ ἐν γραμματείῳ τὸ ἔγκλημα καὶ τὸ τίμημα· ἐλάμβανον δὲ καὶ ἑτέραν ὑπὲρ τῆς ἀντωμοσίας. Male hîc τὰς ψήφους nominari pro τὰ γραμματεῖα, apparet e sequenti fragmento et ex ipso Polluce VIII, 17.

Horum partem tantummodo præbent Hesychius s. v. Διαιτηταί, Suidas ib. in altera glossa, Lexic. Rhet. Seg. p. 235, 20, Schol. Plat. Leg. p. 457 Bekk.

74 (443).

Harpocration s. v. Ἐχῖνος : Ἔστι μὲν ἄγγος τι εἰς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας ἐτίθεντο. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον (§ 65). Μνημονεύει τοῦ ἄγγους τούτου καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ καὶ Ἀριστοφάνης Δαναΐσιν.

Eadem Photius p. 46, 4, Suidas et mendose apud Cramerum, Anecdd. Oxon. t. II, p. 495, 25. Schol. Aristoph. Vesp. 1436 : Ἐχῖνον : Ἄγγος τι χαλκοῦν ἢ καὶ ἐκ κεράμου, εἰς ὃ καθιᾶσιν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν ἅ τινες ἐμαρτύρησαν, καὶ κατασημηνάμενοι μετὰ ταῦτα εἰ ἐγκληθείη ἡ δίαιτα τοῖς δικασταῖς ἐπεδίδουν. Τοῦ δ' ἄγγους τούτου καὶ Δημοσθένης μνημονεύουσι καὶ Ἀριστοτέλης, quæ eadem omissis testimoniis leguntur apud Photium p. 46, 19 et Suidam s. v. Ἐχῖνοι. Tertia præterea glossa apud Photium exstat p. 46, 10 : Ἐχῖνος : Καδίσκος τίς ἐστι χαλκοῦς, εἰς ὃν αἵ τε μαρτυρίαι καὶ αἱ προκλήσεις ἔγγραφοι ἐνεβάλλοντο ὑπὸ τῶν δικαζομένων· καὶ κατεσημαίνοντο ἵνα μηδεὶς κακουργήσῃ περὶ τὰ ἐμβαλλόμενα, quæ iisdem fere verbis in Lexic. Rhet. Seg. p. 258, 3 leguntur et in Etymol. M. p. 404, 54. Cf. Pollux VIII, 127 : Ἐχῖνος δὲ (ἀγγεῖόν ἐστιν), οὗ αἱ μαρτυρίαι ἐμβληθεῖσαι κατεσημαίνοντο.

75 (444).

Pollux VIII, 62 : Ἔφεσις δέ ἐστιν, ὅταν τι, ἀπὸ διαιτητῶν ἢ ἀρχόντων ἢ δημοτῶν ἐπὶ δικαστὴν ἐφῇ, ἢ ἀπὸ βουλῆς ἐπὶ δῆμον, ἢ ἀπὸ δήμου ἐπὶ δικαστήριον, ἢ ἀπὸ δικαστῶν ἐπὶ ξενικὸν δικαστήριον· ἐφέσιμος δ' ὠνομάζετο ἡ δίκη. Αὗται δὲ καὶ ἔκκλητοι δίκαι ἐκαλοῦντο. Τὸ δὲ παρακαταβαλλόμενον ἐπὶ τῶν ἐφέσεων, ὅπερ οἱ νῦν παραβόλιον καλοῦσι, παράβολον Ἀριστοτέλης λέγει.

Salmasius, *De modo usurar.* p. 13, hæc ad locum Œconomici, qui inter Aristotelis libros exstat, l. II, § 15, referens, ibi pro παραβολή, quod in editionibus legitur, παράβολον corrigebat. Nec aliter habent codices Bekkeri $S^b$ et $T^b$, quum in tertio, $J^b$ παραβόλιον scribitur. Meo judicio potius Ἀριστοτέλης male pro Ἀριστοφάνης positum videtur. Nescio an huc faciat Phrynichus Ecl. p. 238 Lob. : Παραβόλιον : Ἀδόκιμον τοῦτο. Τῷ μὲν ὀνόματι οὐ χρῶνται οἱ παλαιοί, τῷ δὲ ῥήματι. Ceterum de re obscuriore quam ut facile dijudicari possit cf. Meier, *Der attische Prozess*, p. 771. Cum prioribus apud Pollucem consentiunt Harpocration : Ἔφεσις ἡ ἐξ ἑτέρου δικαστηρίου εἰς ἕτερον μεταγωγή· τὸ δὲ αὐτὸ καὶ ἔκκλητος καλεῖται, Photius p. 40, 21 ; 41, 5, Suidas s. v., Etym. M. p. 401, 50.

76 (445).

Harpocration s. v. Ἐπὶ Παλλαδίῳ : Δημο-

---

74.

Echinus, vas æneum vel etiam figulinum, in quod deponebant arbitri tabulas testimoniorum, et quod obsignatum tum quum in judicium res vocaretur, judicibus tradebant. Vasis hujus mentionem faciunt et Demosthenes et Aristoteles.

75.

Translatio vero est, quum quis ab arbitris, archontibus, demotis ad judicem causam transfert : vel a senatu ad populum, aut a populo ad forum, aut a judicibus ad forum peregrinum; translatum autem judicium dicitur; quæ eadem et ἔκκλητοι δίκαι provocationes dicuntur. Atque quod in appellationibus spondebatur, quod nunc παραβόλιον vocant, Aristoteles παράβολον nominat.

76.

*Ad Palladium.* Judicium est sic vocatum ut Demosthenes in Oratione contra Aristocratem et Aristoteles in Atheniensium Republica tradunt, in quo de cæde inconsulto commissa et de insidiis vitæ alterius structis ephetæ judicant. Tribunal vero Palladii, judices autem ephetarum nomen nacti sunt hanc ob causam : nimirum quum Agamemnon et Argivi Troja redeuntes, cum Palladio Athenas appulissent, Demophon Palladium rapuit, et multos insequentium occidit. Propterea indignatus Aga-

Eadem Photius et Suidas omisso nomine Aristotelis. Ι' post ιε' addidit Valesius. Apud Photium ultima sic leguntur : Ἦσαν δὲ τὸν ἀριθμὸν πάλαι μὲν πεντεκαίδεκα, [ι'] ἐν ἄστει, πέντε δὲ ἐν Πειραιεῖ, ὕστερον δὲ λ' μὲν ἐν ἄστει, ε' δὲ ἐν Πειραιεῖ, ubi pro ε', ι' corrigendum censet Rosius, collato Plutarcho V. Lysandri c. 15 : Τριάκοντα μὲν ἐν ἄστει δέκα δὲ ἐν Πειραιεῖ. Aliter de hac re judicarunt Bergkius, *De reliquiis com. Att. ant.* p. 18, qui ιε' voluit, Bœckhius, *Staatshaushalt. der Athener*, t. I, p. 118, qui locum ita constitutum fuisse putat : Ἦσαν δὲ τὸν ἀριθμὸν πάλαι μὲν τρεῖς, ὕστερον δὲ πεντεκαίδεκα, δέκα μὲν ἐν ἄστει, πέντε δὲ ἐν Πειραιεῖ, comparato Lysia Orat. XII, § 8. Cf. Vœmel, *Zeitschrift für Alterthumsw.* 1852, p. 32, Dobr. in Advers. et Dindorf. ad Harpocrat. t. I, p. 274. Ab Harpocratione differt glossa Lex. Rhet. Seg. p. 300, 19 : Σιτοφύλακες : Ἄρχοντες Ἀθήνησι κληρωτοί. Οὗτοι δ' ἐπεμελοῦντο, ὅπως ὁ σῖτος δικαίως πραθήσεται, καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι κατὰ τὰς ὡρισμένας τιμὰς καὶ τὸν σταθμόν.

71 (440).

Harpocration s. v. Μετρονόμοι : Ἀρχή τις Ἀθήνησίν ἐστιν ἡ τῶν μετρονόμων, ὡς Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. Ἦσαν δὲ τὸν ἀριθμὸν ιε', εἰς μὲν τὸν Πειραιᾶ ε', ι' δ' εἰς ἄστυ· εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια εἴη τὰ μέτρα τῶν πωλούντων, ὡς καὶ Ἀριστοτέλης, ἐν τῇ Ἀθηναίων Πολιτείᾳ δηλοῖ.

Numeri et hîc in codd. corrupti, quum pro ε', ι' et mox ε' pro ι' præbeant, excepto D quem, ut solent, sequuntur Photius p. 265, 4 et Suidas : ιε' μὲν εἰς Πειραιᾶ, θ' δὲ εἰς ἄστυ. Altera glossa apud Photium p. 264, 25 : Ἄρχοντες ἦσαν δέκα τὸν ἀριθμόν, ὧν πέντε μὲν ἐν ἄστει, πέντε δ' ἐν Πειραιεῖ, cum qua consentit Lex. Rhet. Seguer. p. 278, 25, nisi quod incipit ἀρχή τις Ἀθήνησι κληρωτὴ ἡ τῶν μετρονόμων. De utroque numero cf. Bœckh. *Staatshaush.* t. I, p. 70, not. c.

72 (441).

Harpocration s. v. Κατὰ δήμους δικαστάς ... Περὶ τῶν κατὰ δήμους δικαστῶν, ὡς πρότερον μὲν ἦσαν τριάκοντα καὶ κατὰ δήμους περιιόντες ἐδίκαζον, εἶτα ἐγένοντο τετταράκοντα, εἴρηκεν Ἀριστοτέλης ἐν τῇ [Ἀθηναίων] Πολιτείᾳ.

Eadem Suidas omisso Aristotelis nomine. Pollux VIII, 100 : Οἱ δὲ τετταράκοντα πρότερον μὲν ἦσαν τριάκοντα, οἳ περιιόντες κατὰ δήμους τὰ μέχρι δραχμῶν δέκα ἐδίκαζον, τὰ δὲ ὑπὲρ ταῦτα διαιτηταῖς παρεδίδοσαν· μετὰ δὲ τὴν τῶν τριάκοντα ὀλιγαρχίαν μίσει τοῦ ἀριθμοῦ τοῦ τριάκοντα τετταράκοντα ἐγένοντο. Cf. Photius p. 135, 25 s. v. Κατὰ δήμους δικασταί, p. 581, 20 s. v. Τετταράκοντα : Κληρωτή τις ἦν Ἀθήνησιν ἀρχὴ μ' τὸν ἀριθμόν, οἳ τὰς ἰδιωτικὰς δίκας ἐδίκαζον· ἀλλὰ τὰς μὲν ἄχρι δέκα δραχμῶν αὐτοτελεῖς ἦσαν δικάζειν, τὰς δὲ ὑπὲρ ταύτας τοῖς διαιτηταῖς παρεδίδουν. Lex. Rhet. Seg. p. 306, 15 : Τεσσαράκοντα τίνες εἰσίν : Ἀρχή τίς ἐστι κληρωτὴ μ' τὸν ἀριθμὸν πρὸς οὓς αἱ ἴδιαι δίκαι ἐλαγχάνοντο καὶ τὰ μέχρι δέκα δραχμῶν· τὰ δ' ὑπὲρ τοῦτο τὸ τίμημα τοῖς δικασταῖς (sic male pro διαιτηταῖς cf. fragm. 73) παραδιδόασιν. De alia Photii glossa p. 599, 11 : Τριάκοντα : Πρῶτοι μὲν οἱ κατὰ πόλιν δικασταί, δεύτεροι οἱ κατὰ δήμους τριάκοντα, τῆς ἐκκλησίας ἐπιμελούμενοι μετὰ τῶν ληξιάρχων· οὕτως Φρύνιχος, ubi novissimus Photii editor pro Φρύνιχος, Φιλόχορος itemque πρῶτον μὲν — δεύτερον δὲ legendum esse censet, cf. Meier. *Der attische Process*, p. 80.

73 (442).

Harpocration s. v. Διαιτηταί.... Εἰσὶ δὲ οἱ διαιτηταὶ ἕτεροι τῶν δικαστῶν· οὗτοι μὲν γὰρ ἐν δικαστηρίοις ἐδίκαζον ἀποδεδειγμένοις καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ἔκρινον, οἱ δὲ διαιτηταὶ πρότερον κλήρῳ λαχόντες ἢ ἐπιτρεψάντων αὐτοῖς τῶν κρινομένων τοῖς κρινομένοις διῄτουν. Καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μή, τὰ ἐγκλήματα καὶ τὰς προκλήσεις καὶ τὰς μαρτυρίας, ἔτι δὲ

71.

**Metronomi, magistratus Athenis, qui mensuris præfecti, teste Dinarcho in Oratione adversus Callisthenem. Erant autem quindecim, quinque in Piræeo, decem in urbe; curabantque ut mensuræ vendentium justæ essent, quod Aristoteles quoque in Republica Atheniensium docet.**

72.

**De judicibus κατὰ δήμους, qui primum triginta, deinde quadraginta fuerunt, et singulos pagos obeuntes jus dicebant, Aristoteles dixit in Republica Atheniensium.**

73.

**Arbitri a judicibus diversi sunt : nam judices in assignatis foris judicabant, litesque ab arbitris ad se translatas discernebant; arbitri vero ante sorte lecti quam ii, quorum de re agitur, se iis permitterent, arbitrium reddebant, et si litigantibus placuisset, finem liti imponebant; sin minus, crimina et citationes et testimonia et leges et alias utriusque probationes in echinum conjectas atque obsignatas litium introductoribus tradebant. De his Aristoteles in Republica Atheniensium disserit.**

ρίαν βαδίζει εἰς δικαστήριον τὸ ὁμόχρουν μὲν τῇ βακτηρίᾳ, ἔχον δὲ τὸ αὐτὸ γράμμα ὅπερ ἐν τῇ βαλάνῳ. Ἐπειδὰν δὲ εἰσέλθῃ, παραλαμβάνει σύμβολον δημοσίᾳ παρὰ τοῦ εἰληχότος ταύτην τὴν ἀρχήν.

« Post χρῶμα, ab Hemsterhusio male in γράμμα mutatum, lacunam indicavit Dobræus. Quæ fortasse sic est explenda ut scribatur : Τοῖς γὰρ δικαστηρίοις χρῶμά τέ ἐστιν ἴδιον ἑκάστῳ, καὶ γράμμα ἐπιγέγραπται ἐπὶ τῷ σφηκίσκῳ τῆς εἰσόδου. » *G. Dindorfius* ad h. l.

In alio scholio ad l. l. v. 277, p 340, 39 ed. Dübner. hæc leguntur : Τὸ δὲ « Ὁ Χάρων τὸ ξύμβολον δίδωσι » τοιοῦτόν ἐστι. Τοῖς λαχοῦσι δικάσαι εἰσελθοῦσιν ἑκάστῳ σύμβολον δίδοται δημόσιον παρὰ τῆς ἐπὶ τοῦτο εἰληχυίας ἀρχῆς, ἵν' οἱ ἐξιόντες καὶ τοῦτο προσφέροντες λαμβάνοιεν τὸν δικαστικὸν μισθόν. Cf. Photius p. 549, 5 s. v. Σύμβολον : ὃ ἐλάμβανον οἱ δικασταὶ εἰς τὸ δικαστήριον εἰσιόντες, εἶτα τοῦτο δόντες τὸ δικαστικὸν ἐκομίζοντο, Hesych. s. v., Etymol. M. p. 734, 25, Lex. Rhet. Seg. p. 220, 17 et 301, 1, Suidas. s. v. Βακτηρία. De re disseruerunt Schœmann. *De sortitione judicum apud Athenienses*, Gryphisw. 1820, Bœckh. ad C. Inscript. t. I, p. 281, 341, sqq., Raoul-Rochette, *Journal des savants*, 1833, p. 439.

80 (449).

Schol. Aristophan. Vesp. 684 : Τοὺς τρεῖς ὀβολούς : Τὸν φόρον λέγει, ἀφ' ὧν ἐδίδοτο τὸ τριώβολον. Τοῦτο δὲ ἄλλοτε ἄλλως ἐδίδοτο, τῶν δημαγωγῶν τὰ πλήθη κολακευόντων, ὥς φησιν Ἀριστοτέλης ἐν Πολιτείαις.

Optime hæc ad Politica IV, 3, § 2, referri possent, ubi legitur : Οἱ δὲ νῦν δημαγωγοὶ χαριζόμενοι τοῖς δήμοις πολλὰ δημεύουσι διὰ τῶν δικαστηρίων. Politicorum libri bis a Schol. Aristoph. ad Acharn. v. 92 et 977 laudantur. De re cf. Hesych. s. v. Δικαστικόν : Ἀριστοφάνης ἐν Ὥραις τριώβολόν φησιν εἶναι· οὐ μέντοι ἕστηκεν, ἀλλ' ἄλλοτε ἄλλως ἐδίδοτο, Schol. Aristoph. Plut. 329, Nub. 862, Equit. 51, Pollux VIII, 113.

81 (450).

Zenobius VI, 29 : Ὑπὲρ τὰ Καλλικράτους : Κλέαρχός φησιν ὅτι Καλλικράτης τις ἐγένετο ἐν Καρύστῳ πλουσιώτατος. Εἴ ποτε ἐθαύμαζόν τινα οἱ Καρύστιοι ἐπὶ πλούτῳ ὑπερβολικῷ, ἔλεγον ὑπὲρ τὰ Καλλικράτους. Ἀριστοτέλης δέ φησιν ἐν τῇ Ἀθηναίων Πολιτείᾳ Καλλικράτην τινὰ πρῶτον τῶν δικαστῶν τοὺς μισθοὺς εἰς ὑπερβολὴν αὐξῆσαι, ὅθεν καὶ τὴν παροιμίαν εἰρῆσθαι.

Eadem Photius et Suidas, apud quos tamen male scriptum est τοὺς δικαστικοὺς μύθους, Diogenian. VIII, 62, Apostol., XIX, 86, Pseudo-Plutarch. Prov. Alex., 111, Arsen. Viol. p. 458 Walz. Ad eandem rem alludit proverbium in Append Gœtting. IV, 11 : Ὀβολὸν εὗρε Παρνύτης : Καλλίστρατος Ἀθήνησι πολιτευσάμενος, ἐπικαλούμενος Παρνύτης, μισθὸν ἔταξε τοῖς δικασταῖς καὶ τοῖς ἐκκλησιασταῖς· ὅθεν σκωπτόντων αὐτὸν τῶν κωμικῶν εἰς παροιμίαν ἦλθε τὸ γελοῖον, quod collata Hesychii glossa Παρνόπη : Καλλίστρατος Ἀθηναῖος, emendare conatus est Meinekius in Fragm. comic. græc. t. IV, p. 700.

82 (451).

Harpocration s. v. Διαμεμετρημένη ἡμέρα : Μέτρον τί ἐστιν ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον. Ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί. Πρὸς δὴ τοῦτο ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. Διενέμετο δὲ τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τρίτον τοῖς δικάζουσι. Ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος (immo de falsa legat. § 126). Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων Πολιτείᾳ διδάσκει περὶ τούτων.

Eandem glossam Suidas omisso Aristotelis nomine. Hesychius s. v. Διαμεμετρημένην ἡμέραν : Ἐπὶ τῶν μεγάλων δικῶν τὴν ἡμέραν ἐμέριζον εἰς διαστήματα. Cf. Schol. ad Æschin. l. l.

---

rem (suamque literam) quæ in supercilio januæ inscripta legitur. Judex vero, sumpto scipione, in id ingreditur dicasterium, quod eodem quo scipio ille colore est, eandemque habet literam, quæ glandi scipionis inscripta est. Ingressus deinde tesseram accipit ab eo, cui hoc munus demandatum est.

80.

Merces judicialis aliis temporibus alia dabatur, demagogis populi benevolentiam blandiendo captantibus, ut Aristoteles dicit in opere de Rebuspublicis.

81.

Aristoteles in Republica Atheniensium dicit Callicratem quendam primum judicum mercedem immodice auxisse, indeque ortum proverbium : Ultra quam Callicrates.

82.

Διαμεμετρημένη ἡμέρα. Est mensura quædam aquæ ad definitum diei spatium fluens : quæ mense Posideone mensurabatur. Ad aquam istam judicia de causis maximi momenti habebantur. Aqua autem in tres dividebatur partes, quarum una actori, altera reo, tertia judicibus assignabatur. Id luculentissime ipsi rhetores declarant, ut et Æschines in Oratione contra Ctesiphontem. Aristoteles vero de his exponit in Republica Atheniensium.

83 (452).

Harpocration s. v. Τετρυπημένη ... Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ γράφει ταυτί· « Ψῆφοι δέ εἰσι χαλκαῖ αὐλίσκον ἔχουσαι ἐν τῷ μέσῳ, αἱ μὲν ἡμίσειαι τετρυπημέναι, αἱ δὲ ἡμίσειαι πλήρεις. Οἱ δὲ λαχόντες ἐπὶ τὰς ψήφους, ἐπειδὰν εἰρημένοι ὦσιν οἱ λόγοι, παραδιδόασιν ἑκάστῳ τῶν δικαστῶν δύο ψήφους, τετρυπημένην καὶ πλήρη, φανερὰς ὁρᾶν τοῖς ἀντιδίκοις ἵνα μήτε πλήρεις μήτε τετρυπημένας λαμβάνωσιν. »

Eadem, Aristotelis mentione omissa, Photius p. 581, 8 et Suidas s. v. Post αἱ δὲ ἡμίσειαι πλήρεις codd. ABCD addunt : μήτε ταύτῃ ὑπομείνας, et similiter post μήτε πλήρεις, μήτε ταύτας C, μήτε ταύτῃ B et Suidæ codices, μὴ ταύτῃ A. Μήτε πάντῃ τετρυπημένας scripsit Bekkerus. Lectionem Photii secuti sumus. Glossa similis in Lexic. Rhet. Seguer. p. 307, 18 et apud Photium p. 581, 4 : Τετρυπημένη ψῆφος : Τῶν ψήφων οὐσῶν χαλκῶν καὶ αὐλίσκον ἐχουσῶν, αἱ μὲν ἦσαν ὅλαι τετρυπημέναι ὅσαι κατεψηφίζοντο, αἱ δὲ πλήρεις ἀτρύπητοι, ὅσαι ἠφίεσαν τοὺς κρινομένους. Τετρυπημένη ψῆφος τοίνυν ἐστὶν ἡ τῶν καταψηφισθέντων δίκη. Cf. etiam Pollux VIII, 123, et Schol. Æschin. c. Timarch. § 79 p. 268 Schultz.

84 (453).

Lex. Rhet. Cantabr. p. 670, 30 : Ἴσαι αἱ ψῆφοι αὐτῶν : Ἐγένοντο δὲ ἴσαι ψῆφοι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ. Καὶ ἦσαν τοῦ μὲν διώκοντος αἱ τετρυπημέναι, τοῦ δὲ φεύγοντος αἱ πλήρεις· ὁποτέρῳ δ' ἂν πλείους γένωνται, οὗτος ἐνίκα· ὅτε δὲ ἴσαι, ὁ φεύγων ἀπέφυγεν. » Ὡς καὶ Θεοδέκτης ἐν τῇ Σωκράτους Ἀπολογίᾳ.

Priora verba, ut ex Harpocratione, Photio, Suida apparet, desumpta sunt ex Æschinis c. Ctesiph. Or. § 252 : Ἴσαι γὰρ αἱ ψῆφοι αὐτῷ ἐγένοντο, quæ sequuntur vero, ex altera glossa apud Photium p. 113, 11, quam Suidas quoque habet : Ἴσαι ψῆφοι : Ἐπὶ τῶν παρ' ὀλίγον ἐν τοῖς δικαστηρίοις ἁλισκομένων. Ἀπολύονται γὰρ οἱ διωκόμενοι ἐπὶ τῶν δικαζομένων κἂν ἴσαι γένωνται ψῆφοι ἐν αἷς ἀπολύεται ὁ ἐγκαλούμενος, supplenda sunt. Cf. Hesych. et Append. Prov. 330. In Pseudo-Aristotelis Problem. XXIX, 13 tractatur quæstio : Διὰ τί ποτε, ὅταν τῷ φεύγοντι καὶ τῷ διώκοντι φαίνωνται αἱ ψῆφοι ἴσαι, ὁ φεύγων νικᾷ.

85 (454).

Schol. Aristoph. Equit. 1150 : Κημόν... ἄλλως. Κημὸς ὁ ἐπὶ τοῦ καδίσκου, εἰς ὃν τὰς ψήφους καθίεσαν ἐν τοῖς δικαστηρίοις. Κρατῖνος δὲ αὐτὸν ἐν Νόμοις σχοίνινον ἠθμὸν καλεῖ. Τοιοῦτος γὰρ ἐγίνετο καὶ ἦν παρόμοιος χώνῃ, ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ. Ὕστερον δὲ ἀμφορεῖς δύο ἵσταντο ἐν τοῖς δικαστηρίοις, ὁ μὲν χαλκοῦς, ὁ δὲ ξύλινος· καὶ ὁ μὲν κύριος ἦν, ὁ δὲ ἄκυρος. Ἔχει δὲ καὶ ὁ χαλκοῦς, ὥς φησιν Ἀριστοτέλης, διερρινημένον ἐπίθημα εἰς τὸ αὐτὴν μόνην τὴν ψῆφον καθίεσθαι· πρὸς τοῦτο οὖν ὁ κημός. Ἀντὶ δὲ ψήφων ταῖς χοιρίναις οἱ δικασταὶ ἐχρῶντο· αὗται δὲ κόγχαι τινές εἰσιν, ὥς φησιν Ἐπαφρόδιτος ἐν ταῖς Λέξεσιν.

Similia apud Suidam et Photium s. v. Κημός : Πλέγμα χωνοειδὲς δι' οὗ καθιᾶσιν οἱ δικασταὶ τὴν ψῆφον εἰς τὸν κάδον, Lex. Rhet. Seguer. p. 275, 25 : Κημός : Πλέγμα τι ἐκ σχοινίων ἐπιθέμενον τῇ ὑδρίᾳ, παρόμοιον χώνῃ ἢ ἠθμῷ, δι' οὗ τὰς δικαστικὰς καθίεσαν ψήφους, Hesych. s. v. Κημός... Δηλοῖ δὲ καὶ τὸ ἐπιτιθέμενον τῇ τῶν δικαστῶν ὑδρίᾳ πεπλεγμένον πῶμα, παρόμοιον χώνῃ et Polluc. VIII, 17 : Κημὸς δὲ δι' οὗ κατῄεσαν αἱ ψῆφοι, ἐπικειμένου τῷ καδίσκῳ.

De tota re de qua hîc et in antecedentibus fragmentis agitur cf. Pollux VIII, 123 : Ψήφους δ' εἶχον χαλκᾶς δύο, τετρυπημένην καὶ ἀτρύπητον, καὶ κάδον ᾧ κημὸς ἐπέκειτο δι' οὗ καθίετο ἡ ψῆφος· αὖθις δὲ δύο ἀμφορεῖς, ὁ μὲν χαλκοῦς ὁ δὲ ξύλινος, ὁ μὲν κύριος ὁ δὲ ἄκυρος· τῷ δὲ χαλκῷ ἐπῆν ἐπίθημα μιᾷ ψήφῳ χώραν ἔχον.

86 (455).

Schol. Aristoph. Vesp. 578 : Ἀριστοτέλης δέ φησιν ὅτι ψήφῳ οἱ ἐγγραφόμενοι (εἰς τὸ ληξιαρχικὸν

---

**83.**

**Aristoteles in Atheniensium Republica scribit hæc : « Sunt autem calculi ærei, auliscum in medio habentes, quorum dimidia pars perforata, dimidia solida. Ceterum ii quibus hoc demandatum est, postquam perorata utrinque causa est, singulis judicibus binos tradunt calculos, perforatum et solidum, idque adversariis inspectantibus, ne judices vel ambo perforatos vel ambo solidos accipiant. »**

**84.**

**Aristoteles in Republica Atheniensium : « Calculi perforati accusantis, solidi vero rei erant. Cui plures erant is vincebat; sin æquales, reus absolvebatur. »**

**85.**

**Κημὸς erat super urna, in quam calculi a judicibus injiciebantur... Postea duas in judiciis collocabant amphoras, alteram æneam, alteram ligneam; illa rata, hæc irrita. Ænea quoque, ut Aristoteles tradit, operculum habet perlimatum in tantum, ut foramen ipsum solummodo calculum immitti sinat.**

**86.**

**Aristoteles dicit examen subire et gentilitiorum suf-**

ρίαν βαδίζει εἰς δικαστήριον τὸ ὁμόχρουν μὲν τῇ βακτηρίᾳ, ἔχον δὲ τὸ αὐτὸ γράμμα ὅπερ ἐν τῇ βαλάνῳ. Ἐπειδὰν δὲ εἰσέλθῃ, παραλαμβάνει σύμβολον δημοσίᾳ παρὰ τοῦ εἰληχότος ταύτην τὴν ἀρχήν.

« Post χρῶμα, ab Hemsterhusio male in γράμμα mutatum, lacunam indicavit Dobræus. Quæ fortasse sic est explenda ut scribatur : Τοῖς γὰρ δικαστηρίοις χρῶμά τέ ἐστιν ἴδιον ἑκάστῳ, καὶ γράμμα ἐπιγέγραπται ἐπὶ τῷ σφηκίσκῳ τῆς εἰσόδου. » *G. Dindorfius* ad h. l.

In alio scholio ad l. l. v. 277, p 340, 39 ed. Dübner. hæc leguntur : Τὸ δὲ « Ὁ Χάρων τὸ ξύμβολον δίδωσι » τοιοῦτόν ἐστι. Τοῖς λαχοῦσι δικάσαι εἰσελθοῦσιν ἑκάστῳ σύμβολον δίδοται δημόσιον παρὰ τῆς ἐπὶ τοῦτο εἰληχυίας ἀρχῆς, ἵν' οἱ ἐξιόντες καὶ τοῦτο προσφέροντες λαμβάνοιεν τὸν δικαστικὸν μισθόν. Cf. Photius p. 549, 5 s. v. Σύμβολον : ὃ ἐλάμβανον οἱ δικασταὶ εἰς τὸ δικαστήριον εἰσιόντες, εἶτα τοῦτο δόντες τὸ δικαστικὸν ἐκομίζοντο, Hesych. s. v., Etymol. M. p. 734, 25, Lex. Rhet. Seg. p. 220, 17 et 301, 1, Suidas. s. v. Βακτηρία. De re disseruerunt Schœmann. *De sortitione judicum apud Athenienses*, Gryphisw. 1820, Bœckh. ad C. Inscript. t. I, p. 281, 341, sqq., Raoul-Rochette, *Journal des savants*, 1833, p. 439.

80 (449).

Schol. Aristophan. Vesp. 684 : Τοὺς τρεῖς ὀβολούς : Τὸν φόρον λέγει, ἀφ' ὧν ἐδίδοτο τὸ τριώβολον. Τοῦτο δὲ ἄλλοτε ἄλλως ἐδίδοτο, τῶν δημαγωγῶν τὰ πλήθη κολακευόντων, ὥς φησιν Ἀριστοτέλης ἐν Πολιτείαις.

Optime hæc ad Politica IV, 3, § 2, referri possent, ubi legitur : Οἱ δὲ νῦν δημαγωγοὶ χαριζόμενοι τοῖς δήμοις πολλὰ δημεύουσι διὰ τῶν δικαστηρίων. Politicorum libri bis a Schol. Aristoph. ad Acharn. v. 92 et 977 laudantur. De re cf. Hesych. s. v. Δικαστικόν : Ἀριστοφάνης ἐν Ὥραις τριώβολόν φησιν εἶναι· οὐ μέντοι ἕστηκεν, ἀλλ' ἄλλοτε ἄλλως ἐδίδοτο, Schol. Aristoph. Plut. 329, Nub. 862, Equit. 51, Pollux VIII, 113.

81 (450).

Zenobius VI, 29 : Ὑπὲρ τὰ Καλλικράτους : Κλέαρχός φησιν ὅτι Καλλικράτης τις ἐγένετο ἐν Καρύστῳ πλουσιώτατος. Εἴ ποτε ἐθαύμαζόν τινα οἱ Καρύστιοι ἐπὶ πλούτῳ ὑπερβολικῷ, ἔλεγον ὑπὲρ τὰ Καλλικράτους. Ἀριστοτέλης δέ φησιν ἐν τῇ Ἀθηναίων Πολιτείᾳ Καλλικράτην τινὰ πρῶτον τῶν δικαστῶν τοὺς μισθοὺς εἰς ὑπερβολὴν αὐξῆσαι, ὅθεν καὶ τὴν παροιμίαν εἰρῆσθαι.

Eadem Photius et Suidas, apud quos tamen male scriptum est τοὺς δικαστικοὺς μύθους, Diogenian. VIII, 62, Apostol., XIX, 86, Pseudo-Plutarch. Prov. Alex., 111, Arsen. Viol. p. 458 Walz. Ad eandem rem alludit proverbium in Append Gœtting. IV, 11 : Ὀβολὸν εὗρε Παρνύτης : Καλλίστρατος Ἀθήνησι πολιτευσάμενος, ἐπικαλούμενος Παρνύτης, μισθὸν ἔταξε τοῖς δικασταῖς καὶ τοῖς ἐκκλησιασταῖς· ὅθεν σκωπτόντων αὐτὸν τῶν κωμικῶν εἰς παροιμίαν ἦλθε τὸ γελοῖον, quod collata Hesychii glossa Παρνόπη : Καλλίστρατος Ἀθηναῖος, emendare conatus est Meinekius in Fragm. comic. græc. t. IV, p. 700.

82 (451).

Harpocration s. v. Διαμεμετρημένη ἡμέρα : Μέτρον τί ἐστιν ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον. Ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί. Πρὸς δὴ τοῦτο ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. Διενέμετο δὲ τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τρίτον τοῖς δικάζουσι. Ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος (immo de falsa legat. § 126). Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων Πολιτείᾳ διδάσκει περὶ τούτων.

Eandem glossam Suidas omisso Aristotelis nomine. Hesychius s. v. Διαμεμετρημένην ἡμέραν : Ἐπὶ τῶν μεγάλων δικῶν τὴν ἡμέραν ἐμέριζον εἰς διαστήματα. Cf. Schol. ad Æschin. l. l.

---

**rem (suamque literam) quæ in supercilio januæ inscripta legitur. Judex vero, sumpto scipione, in id ingreditur dicasterium, quod eodem quo scipio ille colore est, eandemque habet literam, quæ glandi scipionis inscripta est. Ingressus deinde tesseram accipit ab eo, cui hoc munus demandatum est.**

**80.**

**Merces judicialis aliis temporibus alia dabatur, demagogis populi benevolentiam blandiendo captantibus, ut Aristoteles dicit in opere de Rebuspublicis.**

**81.**

**Aristoteles in Republica Atheniensium dicit Callicratem quendam primum judicum mercedem immodice auxisse, indeque ortum proverbium : Ultra quam Callicrates.**

**82.**

**Διαμεμετρημένη ἡμέρα. Est mensura quædam aquæ ad definitum diei spatium fluens : quæ mense Posideone mensurabatur. Ad aquam istam judicia de causis maximi momenti habebantur. Aqua autem in tres dividebatur partes, quarum una actori, altera reo, tertia judicibus assignabatur. Id luculentissime ipsi rhetores declarant, ut et Æschines in Oratione contra Ctesiphontem. Aristoteles vero de his exponit in Republica Atheniensium.**

83 (452).

Harpocration s. v. Τετρυπημένη ... Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ γράφει ταυτί· « Ψῆφοι δέ εἰσι χαλκαῖ αὐλίσκον ἔχουσαι ἐν τῷ μέσῳ, αἱ μὲν ἡμίσειαι τετρυπημέναι, αἱ δὲ ἡμίσειαι πλήρεις. Οἱ δὲ λαχόντες ἐπὶ τὰς ψήφους, ἐπειδὰν εἰρημένοι ὦσιν οἱ λόγοι, παραδιδόασιν ἑκάστῳ τῶν δικαστῶν δύο ψήφους, τετρυπημένην καὶ πλήρη, φανερὰς ὁρᾶν τοῖς ἀντιδίκοις ἵνα μήτε πλήρεις μήτε τετρυπημένας λαμβάνωσιν. »

Eadem, Aristotelis mentione omissa, Photius p. 581, 8 et Suidas s. v. Post αἱ δὲ ἡμίσειαι πλήρεις codd. ABCD addunt : μήτε ταύτη ὑπομείνας, et similiter post μήτε πλήρεις, μήτε ταύτας C, μήτε ταύτη B et Suidæ codices, μὴ ταύτη A. Μήτε πάντη τετρυπημένας scripsit Bekkerus. Lectionem Photii secuti sumus. Glossa similis in Lexic. Rhet. Seguer. p. 307, 18 et apud Photium p. 581, 4 : Τετρυπημένη ψῆφος : Τῶν ψήφων οὐσῶν χαλκῶν καὶ αὐλίσκον ἐχουσῶν, αἱ μὲν ἦσαν ὅλαι τετρυπημέναι ὅσαι κατεψηφίζοντο, αἱ δὲ πλήρεις ἀτρύπητοι, ὅσαι ἠφίεσαν τοὺς κρινομένους. Τετρυπημένη ψῆφος τοίνυν ἐστὶν ἡ τῶν καταψηφισθέντων δίκη. Cf. etiam Pollux VIII, 123, et Schol. Æschin. c. Timarch. § 79 p. 268 Schultz.

84 (453).

Lex. Rhet. Cantabr. p. 670, 30 : Ἴσαι αἱ ψῆφοι αὐτῶν : Ἐγένοντο δὲ ἴσαι ψῆφοι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ. Καὶ ἦσαν τοῦ μὲν διώκοντος αἱ τετρυπημέναι, τοῦ δὲ φεύγοντος αἱ πλήρεις· ὁποτέρῳ δ' ἂν πλείους γένωνται, οὗτος ἐνίκα· ὅτε δὲ ἴσαι, ὁ φεύγων ἀπέφυγεν. » Ὡς καὶ Θεοδέκτης ἐν τῇ Σωκράτους Ἀπολογίᾳ.

Priora verba, ut ex Harpocratione, Photio, Suida apparet, desumpta sunt ex Æschinis c. Ctesiph. Or. § 252 : Ἴσαι γὰρ αἱ ψῆφοι αὐτῷ ἐγένοντο, quæ sequuntur vero, ex altera glossa apud Photium p. 113, 11, quam Suidas quoque habet : Ἴσαι ψῆφοι : Ἐπὶ τῶν παρ' ὀλίγον ἐν τοῖς δικαστηρίοις ἁλισκομένων. Ἀπολύονται γὰρ οἱ διωκόμενοι ἐπὶ τῶν δικαζομένων κἂν ἴσαι γένωνται ψῆφοι ἐν αἷς ἀπολύεται ὁ ἐγκαλούμενος, supplenda sunt. Cf. Hesych. et Append. Prov. 330. In Pseudo-Aristotelis Problem. XXIX, 13 tractatur quæstio : Διὰ τί ποτε, ὅταν τῷ φεύγοντι καὶ τῷ διώκοντι φαίνωνται αἱ ψῆφοι ἴσαι, ὁ φεύγων νικᾷ.

85 (454).

Schol. Aristoph. Equit. 1150 : Κημόν... ἄλλως. Κημὸς ὁ ἐπὶ τοῦ καδίσκου, εἰς ὃν τὰς ψήφους καθίεσαν ἐν τοῖς δικαστηρίοις. Κρατῖνος δὲ αὐτὸν ἐν Νόμοις σχοίνινον ἠθμὸν καλεῖ. Τοιοῦτος γὰρ ἐγίνετο καὶ ἦν παρόμοιος χώνῃ, ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ. Ὕστερον δὲ ἀμφορεῖς δύο ἵσταντο ἐν τοῖς δικαστηρίοις, ὁ μὲν χαλκοῦς, ὁ δὲ ξύλινος· καὶ ὁ μὲν κύριος ἦν, ὁ δὲ ἄκυρος. Ἔχει δὲ καὶ ὁ χαλκοῦς, ὥς φησιν Ἀριστοτέλης, διερρινημένον ἐπίθημα εἰς τὸ αὐτὴν μόνην τὴν ψῆφον καθίεσθαι· πρὸς τοῦτο οὖν ὁ κημός. Ἀντὶ δὲ ψήφων ταῖς χοιρίναις οἱ δικασταὶ ἐχρῶντο· αὗται δὲ κόγχαι τινές εἰσιν, ὥς φησιν Ἐπαφρόδιτος ἐν ταῖς Λέξεσιν.

Similia apud Suidam et Photium s. v. Κημός : Πλέγμα χωνοειδὲς δι' οὗ καθιᾶσιν οἱ δικασταὶ τὴν ψῆφον εἰς τὸν κάδον, Lex. Rhet. Seguer. p. 275, 25 : Κημός : Πλέγμα τι ἐκ σχοινίων ἐπιθέμενον τῇ ὑδρίᾳ, παρόμοιον χώνῃ ἢ ἠθμῷ, δι' οὗ τὰς δικαστικὰς καθίεσαν ψήφους, Hesych. s. v. Κημός... Δηλοῖ δὲ καὶ τὸ ἐπιτιθέμενον τῇ τῶν δικαστῶν ὑδρίᾳ πεπλεγμένον πῶμα, παρόμοιον χώνῃ et Polluc. VIII, 17 : Κημὸς δὲ δι' οὗ κατῄεσαν αἱ ψῆφοι, ἐπικειμένου τῷ καδίσκῳ.

De tota re de qua hîc et in antecedentibus fragmentis agitur cf. Pollux VIII, 123 : Ψήφους δ' εἶχον χαλκᾶς δύο, τετρυπημένην καὶ ἀτρύπητον, καὶ κάδον ᾧ κημὸς ἐπέκειτο δι' οὗ καθίετο ἡ ψῆφος· αὖθις δὲ δύο ἀμφορεῖς, ὁ μὲν χαλκοῦς ὁ δὲ ξύλινος, ὁ μὲν κύριος ὁ δὲ ἄκυρος· τῷ δὲ χαλκῷ ἐπῆν ἐπίθημα μιᾷ ψήφῳ χώραν ἔχον.

86 (455).

Schol. Aristoph. Vesp. 578 : Ἀριστοτέλης δέ φησιν ὅτι ψήφῳ οἱ ἐγγραφόμενοι (εἰς τὸ ληξιαρχικὸν

---

83.

Aristoteles in Atheniensium Republica scribit hæc : « Sunt autem calculi ærei, auliscum in medio habentes, quorum dimidia pars perforata, dimidia solida. Ceterum ii quibus hoc demandatum est, postquam perorata utrinque causa est, singulis judicibus binos tradunt calculos, perforatum et solidum, idque adversariis inspectantibus, ne judices vel ambo perforatos vel ambo solidos accipiant. »

84.

Aristoteles in Republica Atheniensium : « Calculi perforati accusantis, solidi vero rei erant. Cui plures erant is vincebat; sin æquales, reus absolvebatur. »

85.

Κημὸς erat super urna, in quam calculi a judicibus injiciebantur... Postea duas in judiciis collocabant amphoras, alteram æneam, alteram ligneam; illa rata, hæc irrita. Ænea quoque, ut Aristoteles tradit, operculum habet perlimatum in tantum, ut foramen ipsum solummodo calculum immitti sinat.

86.

Aristoteles dicit examen subire et gentilitiorum suf-

γραμματεῖον scil.) δοκιμάζονται οἱ νεώτεροι μὴ ἐτῶν ιη' εἶεν.

87 (456).

Harpocration s. v. Περίπολος : Αἰσχίνης ἐν τῷ περὶ Πρεσβείας (§ 167). Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ περὶ τῶν ἐφήβων λέγων φησὶν οὕτως· « Τὸν δεύτερον ἐνιαυτὸν ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης ἀποδεξάμενοι τῷ δήμῳ περὶ τὰς τάξεις καὶ λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου περιπολοῦσι τὴν χώραν καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις. » Παρατηρητέον οὖν ὅτι ὁ μὲν Ἀριστοτέλης ἕνα φησὶν ἐνιαυτὸν ἐν τοῖς περιπόλοις γίνεσθαι τοὺς ἐφήβους, ὁ δὲ Αἰσχίνης δύο. Καὶ τάχα διὰ τοῦτο ἐπεμνήσθη τοῦ πράγματος ὁ ῥήτωρ, καίπερ πάντων τῶν ἐφήβων ἐξ ἀνάγκης περιπολούντων, αὐτὸς δύο ἔτη γέγονεν ἐν τοῖς περιπόλοις· διὸ καὶ μαρτυρῶν ἐδήλωσεν αὐτό. Eadem Photius et Suidas s. v. Cf. Schol. Æschin. l. l.

88-89 (457-458).

Harpocration s. v. Στρατεία ἐν τοῖς ἐπωνύμοις : Αἰσχίνης ἐν τῷ περὶ τῆς Πρεσβείας (§ 168). Τίς ἦν ἡ ἐν τοῖς ἐπωνύμοις στρατεία δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ λέγων· « Εἰσὶ γὰρ ἐπώνυμοι δέκα μὲν οἱ τῶν φυλῶν, δύο δὲ καὶ τεσσαράκοντα οἱ τῶν ἡλικιῶν. Οἱ δὲ ἔφηβοι ἐγγραφόμενοι πρότερον μὲν εἰς λελευκωμένα γραμματεῖα ἐνεγράφοντο, καὶ ἐπεγράφοντο αὐτοῖς ὅ τε ἄρχων ἐφ' οὗ ἐνεγράφησαν καὶ ἐπώνυμος ὁ τῷ προτέρῳ ἔτει δεδειχτικως· νῦν δὲ εἰς τὴν βουλὴν ἀναγράφονται. » Καὶ μετ' ὀλίγα· « Χρῶνται δὲ τοῖς ἐπωνύμοις καὶ πρὸς τὰς στρατείας, καὶ ὅταν ἡλικίαν ἐκπέμπωσι, προγράφουσιν ἀπὸ τίνος ἄρχοντος ἐπωνύμου μέχρι τίνος δεῖ στρατεύεσθαι. » Διείλεκται περὶ τούτων καὶ Φιλόχορος ἐν δ' τῆς Ἀτθίδος.

Eandem glossam apud Photium et Suidam invenies, qui pro δεδειχτικως, quod apud Harpocrationem corruptum est (δεδειχτικῶς BD, δεδειχτικώς G, δὲ δειχτικῶς AC), non meliorem lectionem præbent ὁ τῷ προτέρῳ ἐπιδεδημηκώς. Aristotelem διῳκηκώς scripsisse arbitror. Priora plenius Harpocration exhibet s. v. Ἐπώνυμοι : Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (§ 18). Διττοί εἰσιν οἱ ἐπώνυμοι, οἱ μὲν ι' τὸν ἀριθμὸν ἀφ' ὧν αἱ φυλαί, ἕτεροι δὲ β' καὶ μ' ἀφ' ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολιτῶν καθ' ἕκαστον ἔτος ἀπὸ ιη' ἐτῶν μέχρις ξ'. Cf. Photius et Suidas qui eadem habent, Etymol. M. p. 369, 16, Lex. Rhet. Seguer. p. 245, 17.

90 (459).

Harpocration s. v. Ἀδύνατοι : Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου (§ 103 s.). Οἱ ἐντὸς τριῶν μνῶν κεκτημένοι τὸ σῶμα πεπηρωμένοι. Ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ὑπὸ τῆς βουλῆς δύο ὀβολοὺς τῆς ἡμέρας ἑκάστης ἢ ὀβολόν, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ· ὡς δὲ Φιλόχορός φησιν ἐννέα δραχμὰς κατὰ μῆνα. Ἔστι δὲ καὶ λόγος τις ὡς Λυσίου περὶ τοῦ ἀδυνάτου, ἐν ᾧ ὡς ὀβολὸν λαμβάνοντος μέμνηται.

Eadem Suidas s. v. et Zonaras p. 42, apud quos tamen male : ἐλάμβανον δὲ οὗτοι... ὀβολοὺς δύο, οἱ δὲ ὀβολόν. Hesych. s. v. Ἀδύνατοι : Οἱ ἐντὸς κεκτημένοι τριῶν μνῶν παρὰ (codex τριῶν περὶ) Ἀττικοῖς. Ἐλάμβανον δὲ παρὰ τῆς βουλῆς δύο ὀβολούς. Ex eodem fonte quo Harpocration, sed negligenter, Synag. Lex. Seguer. p. 345, 15 (cf. Lex. Rhet. Seg. p. 200, 3) : Ἀδύνατοι : Οἱ μέρος τι βεβλαμμένοι τοῦ σώματος ὡς μηδὲ ἐργάζεσθαι· οἷς καὶ ἐχορηγοῦντο τὰ πρὸς τὸ ζῆν παρὰ τῆς πόλεως, μισθοφορούντων αὐτῶν (ita C. Müller. cod. αὐτοῖς) τῶν ἐντὸς τριῶν μνῶν περιουσίαν κεκτημένων. Ἐδοκιμάζοντο δὲ οἱ ἀδύνατοι ὑπὸ τῆς τῶν πεντακοσίων βουλῆς καὶ ἐλάμβανον τῆς ἡμέρας, ὡς μὲν Λυσίας λέγει, ὀβολὸν ἕνα, ὡς δὲ Φιλόχορος πέντε. Ἀριστο-

---

fragiis approbandos esse juvenes, qui exacto vitæ anno duodevicesimo in demi suæ albo inscribebantur.

87.

Aristoteles in Atheniensium Republica, de ephebis verba faciens, sic ait : « Altero anno concione in theatro convocata, ephebi, clypeo et hasta pro concione accepta, terram Atticam perlustrant et in castellis versantur. » Observa Aristotelem putare ephebos per annum in excubiis mansisse, Æschinem vero per biennium.

88-89.

Militia in eponymis, hujus meminit Æschines in Oratione de falsa legatione. Quid sit declarat Aristoteles in Atheniensium Republica inquiens : « Eponymorum duo sunt genera : nam decem numero sunt tribuum ; duo et quadraginta sunt ætatum. Ephebi vero, antea quidem in albo inscribebantur ac notabatur archon anni, quo inscriberentur et eponymus anni antecedentis ; nunc vero in senatu inscribuntur. » Et paulo post : « Utuntur autem eponymis etiam ad militiam, et quum juventutem emittunt, a quo archonte eponymo usque ad quem stipendia merere oporteat adscribunt. » Disserit de his etiam Philochorus Atthidis libro quarto.

90.

Invalidi, intra tres minas possidentes et corpore mutilati. Hi a senatu approbati duo obolos vel unum obolum quotidie accipiebant, ut Aristoteles in Republica Atheniensium ait. Philochorus vero dicit novem drachmas eos per mensem accepisse.

τέλης δὲ δύο ἔφη. Singulari errore Schol. Æschin. l. l. Orat. att. ed. Didot. t. II, p. 497 : Τοῖς ἀδυνάτοις τοῖς σώμασιν ἐχορηγεῖτο ἑκάστης ἡμέρας ἐκ τοῦ δημοσίου εἰς τροφὴν τριώβολον.

91 (460).

Harpocration : Ὅτι νόμος ἐστὶν ὑπὲρ τεσσαράκοντα ἔτη γενόμενον χορηγεῖν παισὶν Αἰσχίνης τε ἐν τῷ κατὰ Τιμάρχου (§ 11) φησὶ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ. Photius et Suidas eadem omissis testium nominibus.

92 (461).

Schol. Aristoph. Pac. v. 1178 : Ἐγὼ δ' ἕστηκα λινοπτώμενος : Λινόπτας γάρ φησιν Ἀριστοτέλης τοὺς τὰ θηρευτικὰ λίνα φυλάττοντας, ὡς καὶ οἰνόπτας τοὺς οἰνοφύλακας. De hoc loco quid statuendum sit mihi non liquet. Similis est glossa apud Photium : Λινόπται (cod. λινοιπαι) οἱ ἀποσκοποῦμενοι τὰ ἐμπίπτοντα τοῖς κυνηγετικοῖς λίνοις θηρία (eadem Hesychius s. v. et Pollux V, 17). Ἀθηναῖοι δὲ καὶ τοὺς φυλάσσοντας τὰς οἰκίας ὁμοίως ἔλεγον. Alienior ab hoc loco glossa est apud Suidam : Λινοπτωμένη· λίνον ἁλιέως ψυχόμενον ἐποπτεύουσα. Error fortasse apud ipsum Aristophanem latet, quem primam syllabam vocabuli λινοπτώμενος corripuisse, jure miratur editor Parinus Thesauri Stephaniani. Præterea quid sibi velint verba poetæ si ea cum scholiaste interpreteris, non satis bene intelligo. Ceterum quæ de οἰνόπταις alibi leguntur, ab eodem scholiaste nominatis, fortasse ex Aristotelis Politia Atheniensium deprompta sunt. Cf. Hesychius s. v. Οἰνόπται : εὐτελὴς ἀρχὴ Ἀθήνησιν, παρέχουσα λύχνους καὶ θρυαλλίδας ἐν ἑορταῖς τισίν et in altera glossa : Οἰνόπται : ἐπιμεληταὶ τοῦ τοὺς φράτορας ἡδὺν οἶνον ἔχειν. Δίδυμος οὕτως ἀποδίδωσιν. Εὐτελὴς ἀρχή τις Ἀθήνησιν, et Pollux VI, 22 : Καὶ οἰνόπτης ὁ τὸν οἶνον ἐπιβλέπων· οὗτος δὲ καὶ λύχνους καὶ θρυαλλίδας παρεῖχε. De his plura collecta invenies a M. Schmidtio in notis ad Didymi Fragmenta, p. 38 sq.

93 (462).

Athenæus VI, p. 235, E : Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων Πολιτείᾳ· « Παράσιτοί φησι τοῖς μὲν ἄρχουσι δύο καθ' ἕκαστον ἦσαν, τοῖς δὲ πολεμάρχοις εἷς. Τεταγμένα δ' ἐλάμβανον παρ' ἄλλων τέ τινων καὶ τῶν ἁλιέων ὄψον. »

Pro Μεθωναίων, quod in codd. legitur, Ἀθηναίων correxit Grashofius, l. l., p. 168, probante C. Müllero et Rosio. Emendatio certissima quum horum parasitorum apud Athenienses satis frequens mentio facta sit. Cf. Preller. ad Polemonis Perieg. fragm. p. 106 sqq. Meinek. Fragm. comic. Græc. t. II, 2, p. 1022, H. Steph. Thes. ed. Didot. s. v. et Mœris p. 208, 2 Bekk. : Παρασίτους : Τοὺς δημοσίᾳ σιτουμένους ἐν πρυτανείῳ Ἀττικοί.

## ΑΙΓΙΝΗΤΩΝ.

94 (463).

Athenæus VI, p. 272, D : Ἀριστοτέλης δ' ἐν Αἰγινητῶν Πολιτείᾳ καὶ παρὰ τούτοις φησὶ γενέσθαι ἑπτὰ καὶ τεσσαράκοντα μυριάδας δούλων.

Eadem schol. cod. Vratisl. A in Pindari Olymp. VIII, 30 : Οὕτω γὰρ ἐπλήθυναν οἱ Αἰγινῆται, ὡς τεσσαράκοντα ἑπτὰ μυριάδας οἰκετῶν κτήσασθαι, ὥς φησιν Ἀριστοτέλης.

## ΑΙΤΩΛΩΝ.

95 (464).

Strabo VII, p. 321 : Ὅτι δὲ πλάνητες (οἱ Λέλεγες scil.) καὶ μετ' ἐκείνων (τῶν Καρῶν) καὶ χωρὶς καὶ ἐκ παλαιοῦ καὶ αἱ Ἀριστοτέλους Πολιτεῖαι δηλοῦσιν. Ἐν μὲν γὰρ τῇ Ἀκαρνάνων φησὶ τὸ μὲν ἔχειν αὐτῆς Κουρῆτας, τὸ δὲ προσεσπέριον Λέλεγας,

---

91.

Lex jubet ut puerorum choragi annum ætatis quadragesimum excesserint, uti Æschines in Oratione contra Timarchum testatur et Aristoteles in Atheniensium Republica.

92.

Λινόπτας Aristoteles eos vocat qui retia venatoria custodiebant, ut et οἰνόπτας qui vinum.

93.

Aristoteles in Republica Atheniensium (*ita scrib. pro* Methonensium) ait : « Parasiti archontibus duo erant singulis, polemarchis vero unus. Accipiebant autem statuta quædam cum ab aliis, tum a piscatoribus obsonium. »

ÆGINETARUM.

94.

Aristoteles in Æginetarum Republica etiam apud hos quadraginta septem millia servorum fuisse dicit.

ÆTOLORUM.

95.

Multum vagatos esse Leleges vel una cum Caribus vel

εἶτα Τηλεβόας· ἐν δὲ τῇ τῶν Αἰτωλῶν τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ· κατασχεῖν δὲ καὶ τὴν Βοιωτίαν αὐτούς φησιν. Ὁμοίως δὲ καὶ ἐν Ὀπουντίων καὶ Μεγαρέων· ἐν δὲ τῇ Λευκαδίων καὶ αὐτόχθονά τινα Λέλεγα ὀνομάζει, τούτου δὲ θυγατριδοῦν Τηλεβόαν, τοῦ δὲ παῖδας δύο καὶ εἴκοσι Τηλεβόας, ὧν τινας οἰκῆσαι τὴν Λευκάδα.

## ΑΚΑΡΝΑΝΩΝ.

96 (465).

Vide supra Ætolorum Rempublicam.

97 (466).

Schol. Pindari Nem. III, 27 : Παγκρατίου στόλῳ : στόλῳ μὲν τῇ στάλσει. Εἰσὶ δὲ οἱ τὸ παγκράτιον ἀπαρχαΐζοντες καὶ τὸν Θησέα φασὶ τῷ Μινωταύρῳ παγκρατιαστικῶς ἀγωνίσασθαι. Ἀριστοτέλης δὲ Λεύκαρόν φησι τὸν Ἀκαρνᾶνα πρῶτον ἔντεχνον τὸ παγκράτιον ποιῆσαι.

Rectius ad Politias quam ad Olympionicas hunc locum referendum esse ex iis patet, quæ infra de Olympionicarum indice ab Aristotele conscripto dicta sunt.

## ΑΚΡΑΓΑΝΤΙΝΩΝ.

98 (467).

Pollux IV, 173 : Καὶ μὴν οἵ γε Δωριεῖς ποιηταὶ τὴν λίτραν ποτὲ μὲν νόμισμά τι λεπτὸν λέγουσιν, οἷον ὅταν Σώφρων ἐν τοῖς γυναικείοις Μίμοις λέγῃ ὅτι « ὁ μισθὸς δεκάλιτρον » καὶ πάλιν ἐν ἀνδρείοις « σῶσαι δ' οὐδὲ τὰς δύο λίτρας δύναμαι », ποτὲ δὲ σταθμόν τινα, ὡς Δεινόλοχος ἐν Μηδείᾳ· « τετταρακονταλίτρους τινὶ νεανίσκῳ πέδας. » Ἀριστοτέλης δ' ἐν Ἀκραγαντίνων Πολιτείᾳ προειπὼν ὡς ἐζημίουν πεντήκοντα λίτρας, ἐπάγει· « Ἡ δὲ λίτρα δύναται ὀβολὸν Αἰγιναῖον. » Ἐν δ' Ἱμεραίων Πολιτείᾳ φησὶν ὡς οἱ Σικελιῶται τοὺς μὲν δύο χαλκοῦς ἑξᾶντα καλοῦσι, τὸν δὲ ἕνα οὐγκίαν, τοὺς δὲ τρεῖς τριᾶντα, τοὺς δὲ ἓξ ἡμίλιτρον, τὸν δὲ ὀβολὸν λίτραν, τὸν δὲ Κορίνθιον στατῆρα δεκάλιτρον, ὅτι δέκα ὀβολοὺς δύναται. Ἔνιοι δὲ καὶ τῶν Ἀθήνησι κωμῳδούντων τῶν νέων, οἷον Φιλήμων ἐν Σικελικῷ καὶ Ποσείδιππος ἐν Γαλάτῃ, λίτρας μνημονεύουσιν.

Ἑξᾶντα codd. quidam, alii δέξαντα, in antiquis edd. ἑξάλιτρα, et postea pro τριᾶντα, τριάκοντα. Pro τρεῖς scribendum esse τέτταρας, conjectura est Bœckhii, *Metrologische Untersuchungen*, p. 293.

Iterum hæc repetit Pollux IX, 80 : Καὶ μὴν ἐν Ἀκραγαντίνων Πολιτείᾳ φησὶν Ἀριστοτέλης ζημιοῦσθαί τινας τριάκοντα λίτρας, δύνασθαι δὲ τὴν λίτραν ὀβολὸν Αἰγιναῖον. Ἀλλὰ μέντοι παρ' αὐτῷ τις ἂν ἐν τῇ Ἱμεραίων Πολιτείᾳ καὶ ἄλλα εὕροι Σικελικῶν νομισμάτων ὀνόματα, οἷον οὐγκίαν, ὅπερ δύναται χαλκοῦν ἕνα, καὶ διξᾶντα ὅπερ ἐστὶ δύο χαλκοῖ, καὶ τριᾶντα ὅπερ τρεῖς, καὶ ἡμίλιτρον ὅπερ ἕξ, καὶ λίτραν ἣν εἶναι ὀβολόν· τὸ μέντοι δεκάλιτρον δύνασθαι μὲν δέκα ὀβολούς, εἶναι δὲ στατῆρα Κορίνθιον. Codd. pro διξᾶντα et τριᾶντα, quod a Jungermanno correctum est, ἓξ τάλαντα et τρία τάλαντα. Cf. Hesychius : Λίτρα : ὀβολός. Οἱ δὲ νόμισμα παρὰ Σικελοῖς, οἱ δὲ ἐπὶ σταθμοῦ. Οἱ δὲ Ῥωμαῖοι διὰ τοῦ β λίβρα.

## ΑΜΒΡΑΚΙΩΤΩΝ.

99 (468).

Stephanus Byzant. s. v. Δεξαμεναί : Μέρος τῆς Ἀμβρακίας, ἀπὸ Δεξαμενοῦ τοῦ Μεσόλου παιδὸς καὶ Ἀμβρακίας τῆς θυγατρὸς Φόρβαντος τοῦ Ἡλίου. Τὸ ἐθνικὸν Δεξαμεναῖος, ὡς Ἀριστοτέλης φησὶν ἐν τῇ Ἀμβρακιωτῶν Πολιτείᾳ.

---

absque iis inde ab antiquissimis temporibus etiam Aristoteles in opere de Rebuspublicis declarat. Etenim in Acarnanum Republica ait partem Acarnaniæ Curetas tenere, occidentalem Leleges, deinde Teleboas. Porro in Ætolorum Republica, qui nunc Locri dicuntur Leleges nominat; eosdem etiam Bœotiam tenuisse ait. Similiter in Opuntiorum Republica et Megarensium. In Leucadiorum vero Republica etiam autochthonem quendam Lelega commemorat, ejusque e filia nepotem Teleboam, hujus denique viginti duo filios Teleboas, quorum nonnulli Leucadem frequentaverint.

ACARNANUM.

97.

Aristoteles Leucarum Acarnana primum artem ad pancratium attulisse dicit.

AGRIGENTINORUM.

98.

Aristoteles in Agrigentinorum Republica, præfatus quod quinquaginta litris mulctarentur, addit : « Litra vero obolum adæquat Ægineticum. » In Himerensium vero Republica dicit : « Siculi duos chalcos *sextantem* vocant, unum chalcum *unciam*, tres chalcos trientem, sex vero *semilitrum*, obolum autem *litram*. porro staterem Corinthiacum vocant *decalitrum*, quia decem obolos valet

AMBRACIOTARUM.

99.

Dexamenæ, Ambraciæ pars a Dexamene Mesoli filio et Ambracia Phorbante nata, Solis filio. Gentile Dexamenæus, ut Aristoteles dicit in Ambraciotarum Republica

(ΑΝΤΑΝΔΡΙΩΝ.)

100 (469).

Stephanus Byzant. s. v. Ἄντανδρος : Πόλις ὑπὸ τὴν Ἴδην πρὸς τῇ Μυσίᾳ τῆς Αἰολίδος, ἀπὸ Ἀντάνδρου τοῦ στρατηγοῦ Αἰολέων. Τὸ ἐθνικὸν Ἀντάνδριος. Ἀριστοτέλης φησὶ ταύτην ὠνομάσθαι Ἠδωνίδα διὰ τὸ Θρᾷκας Ἠδωνοὺς ὄντας οἰκῆσαι, καὶ Κιμμερίδα Κιμμερίων ἐνοικούντων ἑκατὸν ἔτη.

Plin. Hist. Nat. V, 23, 123 : *Rursus in litore Antandros Edonis prius vocata, dein Cimmeris.*

ΑΡΓΕΙΩΝ.

101 (470).

Plinius Hist. nat. VII, s. 57 : *Turres, ut* ARISTOTELES, *Cyclopes* (*invenerunt*), *Tirynthii, ut Theophrastus.*

Confert Rosius Strabonem VIII, p. 372 : Τῇ μὲν οὖν Τίρυνθι ὁρμητηρίῳ χρήσασθαι δοκεῖ Προῖτος καὶ τειχίσαι διὰ Κυκλώπων, οὓς ἑπτὰ μὲν εἶναι, καλεῖσθαι δὲ γαστερόχειρας τρεφομένους ἐκ τῆς τέχνης, ἥκειν δὲ μεταπέμπτους ἐκ Λυκίας.

102 (471).

Pollux X, 179 : Εἴη δ' ἂν καὶ φείδων τι ἀγγεῖον ἐλαιηρὸν ἀπὸ τῶν Φειδωνίων μέτρων ὠνομασμένον, ὑπὲρ ὧν ἐν Ἀργείων Πολιτείᾳ Ἀριστοτέλης λέγει.

Nomen aliunde non cognitum. Ceterum de Phidonis mensuris cf. Bœckh. *Metrologische Untersuchungen*, p. 76, 77, 282.

103 (472).

Strabo VIII, p. 373 : Δρυόπων δ' οἰκητήριόν φασι καὶ τὴν Ἀσίνην (sicut Hermionem) εἴτ' ἐκ τῶν περὶ Σπερχειὸν τόπων ὄντας αὐτοὺς Δρύοπος τοῦ Ἀρκάδος κατοικίσαντος ἐνταῦθα, ὡς Ἀριστοτέλης φησίν, ἢ Ἡρακλέους ἐκ τῆς περὶ τὸν Παρνασὸν Δωρίδος ἐξελάσαντος αὐτούς.

104 (473).

Eustathius ad Hom. Iliad. δ, 51.

Ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες,
Ἄργος τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη·
τὰς διαπέρσαι κτέ.

p. 443 ed. Roman. : Δοκεῖ δὲ ἐνταῦθα μαντικώτερον παραλαλεῖν ὁ ποιητὴς τὴν τῆς Μυκήνης ἀπώλειαν, ἣν ἐκ τῶν ῥηθεισῶν τριῶν κακῶς παθοῦσαν καὶ Ἀριστοτέλης ἱστόρησε.

Aliud est quod dicit Aristoteles Meteorol. I, 14, § 14, ad quem locum Bournot, *Philologus*, t. IV, p. 284, Eustathii mentionem referebat. Nec magis, ut Müllerus suspicabatur (fr. 96 a) ad Homericas quæstiones spectat, sed ad Argivorum Rempublicam, quod e Strabone VIII, p. 372 : Χρόνοις δ' ὕστερον κατεσκάφησαν ὑπ' Ἀργείων, ὥστε νῦν μηδ' ἴχνος εὑρίσκεσθαι τῆς Μυκηναίων πόλεως, conjicere licet.

ΚΟΙΝΗ ΑΡΚΑΔΩΝ.

105 (474).

Harpocration s. v. Μύριοι ἐν Μεγάλῃ πόλει : Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου (De fals. legat. § 11, 198). Συνέδριόν ἐστι κοινὸν Ἀρκάδων ἁπάντων, οὗ πολλάκις μνημονεύουσιν οἱ ἱστορικοί. Διείλεκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν τῇ κοινῇ Ἀρκάδων Πολιτείᾳ, ἀρχόμενος τοῦ βιβλίου.

Omissa Aristotelis mentione eadem Photius et Suidas. In altera glossa apud Photium p. 280, 17 et in Lexic. Rhet. Seguer. p. 280, 4 : Μυρίων : Συνέδριον ἦν μυρίων ἐν Μεγάλῃ πόλει τῆς Ἀρκαδίας.

---

(ANTANDRIORUM.)

100.

**Antandrus, urbs sub Ida monte ad Mysiam Æolidis, nomen habet ab Antandro Æolum duce. Gentile Antandrius. Aristoteles tradit eam nominatam esse Edonidem, quod Edones Thraces inhabitaverint, et Cimmeridem, quod Cimerii tenuerint eam per annos centum.**

ARGIVORUM.

102.

**Fuerit etiam phidon vas quoddam olei certam mensuram continens, a Phidoniis mensuris denominatum, de quibus in Argivorum Republica exponit Aristoteles.**

103.

**Asinem Dryopum habitaculum fuisse dicunt, quos ex regionibus circa Spercheum sitis Dryopos Arcadis filius huc deduxerit, ut Aristoteles dicit, aut quos e Doride circa Parnassum terra Hercules ejecerit.**

104.

**Videtur poeta velut divinando Mycenæ excidium innuere, quam de tribus hisce urbibus afflictam atque eversam Aristoteles narravit.**

COMMUNIS ARCADUM.

105.

**Decies mille viri in urbe Megalopoli. Demosthenes in Oratione contra Æschinem. Est commune totius Arcadiæ concilium, cujus sæpe mentionem faciunt historici. Disserit de iis etiam Aristoteles in communi Arcadum Republica, statim initio libelli.**

## ΑΧΑΙΩΝ.

105[b] (475).

Photius Biblioth. cod. 161, p. 104, B, 42 Bekk. de Sopatri sophistæ historiarum Eclogis : Ὁ δὲ δωδέκατος αὐτῷ λόγος συνήθροισται ἐξ ἄλλων τε διαφόρων καὶ... ἐκ τῶν Ἀριστοτέλους Πολιτειῶν, Θετταλῶν τέ φημι καὶ Ἀχαιῶν καὶ Παρίων Λυκίων τε καὶ Κίων, καὶ ὧν ἐκεῖνος ἁπλῶς ἐν τοῖς πολιτικοῖς αὐτοῦ διαλαμβάνει.

## ΒΟΤΤΙΑΙΩΝ.

106 (476).

Plutarch. V. Thesei c. 15 : Ὅτι μὲν οὖν Ἀνδρόγεω περὶ τὴν Ἀττικὴν ἀποθανεῖν δόλῳ δόξαντος, ὅ τε Μίνως πολλὰ κακὰ πολεμῶν εἰργάζετο τοὺς ἀνθρώπους καὶ τὸ δαιμόνιον ἔφθειρε τὴν χώραν· ἀφορία τε γὰρ καὶ νόσος ἐνέσκηψε πολλὴ καὶ ἀνέδυσαν οἱ ποταμοί· καὶ τοῦ θεοῦ προστάξαντος ἱλασαμένοις τὸν Μίνω καὶ διαλλαγεῖσι λωφήσειν τὸ μήνιμα καὶ τῶν κακῶν ἔσεσθαι παῦλαν, ἐπικηρυκευσάμενοι καὶ δεηθέντες ἐποιήσαντο συνθήκας, ὥστε πέμπειν δι' ἐννέα ἐτῶν δασμὸν ἠϊθέους ἑπτὰ καὶ παρθένους τοσαύτας, ὁμολογοῦσιν οἱ πλεῖστοι τῶν συγγραφέων. Τοὺς δὲ παῖδας εἰς Κρήτην κομιζομένους ὁ μὲν τραγικώτατος μῦθος ἀποφαίνει τὸν Μινώταυρον ἐν τῷ λαβυρίνθῳ διαφθείρειν... c. 16 : Φιλόχορος δέ φησιν οὐ ταῦτα συγχωρεῖν Κρῆτας, ἀλλὰ λέγειν (cf. fr. 38. Müll.)... Ἀριστοτέλης δὲ καὶ αὐτὸς ἐν τῇ Βοττιαίων Πολιτείᾳ δῆλός ἐστιν οὐ νομίζων ἀναιρεῖσθαι τοὺς παῖδας ὑπὸ τοῦ Μίνω, ἀλλὰ θητεύοντας ἐν τῇ Κρήτῃ καταγηράσκειν· καί ποτε Κρῆτας εὐχὴν παλαιὰν ἀποδιδόντας ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστέλλειν, τοῖς δὲ πεμπομένοις ἀναμιχθέντας ἐκγόνους ἐκείνων συνεξελθεῖν· ὡς δὲ οὐκ ἦσαν ἱκανοὶ τρέφειν ἑαυτοὺς αὐτόθι, πρῶτον μὲν εἰς Ἰταλίαν διαπερᾶσαι κἀκεῖ κατοικεῖν περὶ τὴν Ἰαπυγίαν, ἐκεῖθεν δὲ αὖθις εἰς Θρᾴκην κομισθῆναι καὶ κληθῆναι Βοττιαίους· διὸ καὶ τὰς κόρας τῶν Βοττιαίων θυσίαν τινὰ τελούσας ἐπᾴδειν « Ἴωμεν εἰς Ἀθήνας. »

Eundem morem tangit Plutarchus in Quæst. Græc. c. 35 : Τί δή ποτε ταῖς κόραις τῶν Βοττιαίων ἔθος ἦν λέγειν χορευούσαις· « Ἴωμεν εἰς Ἀθήνας »; Κρῆτάς φασιν εὐξαμένους ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστεῖλαι, τοὺς δὲ πεμφθέντας ὡς ἑώρων οὐδεμίαν οὖσαν εὐπορίαν, αὐτόθεν εἰς ἀποικίαν ὁρμῆσαι· καὶ πρῶτον μὲν ἐν Ἰαπυγίᾳ κατοικῆσαι, ἔπειτα τῆς Θρᾴκης τοῦτον τὸν τόπον κατασχεῖν, ἀναμεμιγμένων αὐτοῖς Ἀθηναίων· ἔοικε γὰρ μὴ διαφθείρειν ὁ Μίνως οὓς ἔπεμπον Ἀθηναῖοι κατὰ τὸν δασμὸν ἠϊθέους, ἀλλὰ κατέχειν παρ' ἑαυτῷ λατρεύοντας. Ἐξ ἐκείνων οὖν τινὲς γεγονότες καὶ νομιζόμενοι Κρῆτες εἰς Δελφοὺς συναπεστάλησαν· ὅθεν αἱ θυγατέρες τῶν Βοττιαίων ἀπομνημονεύουσαι τοῦ γένους ᾖδον ἐν ταῖς ἑορταῖς· « Ἴωμεν εἰς Ἀθήνας. »

Ab his diversa narrat Conon c. 25. Utramque fabulam tangit Strabo VI, p. 279 et 282.

## ΓΕΛΩΩΝ.

107 (477).

Schol. Pindari Pyth. I, 89 : Καμάτων δ' ἐπίλασιν παράσχοι : Καμάτων φησὶ τῶν συνεχόντων τὸν Ἱέρωνα ἐκ τοῦ νοσήματος τῆς λιθουρίας. Φησὶ γάρ που καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Γελώων Πολιτείᾳ, Γέλωνα τὸν τοῦ Ἱέρωνος ἀδελφὸν ὑδέρῳ νοσήματι τὸν βίον τελευτῆσαι, αὐτὸν δὲ τὸν Ἱέρωνα, ἐν τῇ τῶν Συρακουσίων Πολιτείᾳ, δυσουρίᾳ δυστυχῆσαι.

Cf. Plutarch. de Pythiæ orac. c. 19 : Ἴστε τοίνυν, ὅτι Γέλων μὲν ὑδρωπιῶν, Ἱέρων δὲ λιθιῶν ἐτυράννησεν· ὁ δὲ τρίτος Θρασύβουλος (tertius scilicet Dino-

---

### BOTTIÆORUM.

106.

Ipse quoque Aristoteles in Bottiæorum Republica fatetur non arbitrari se a Minoe interfectos fuisse liberos (quos Athenienses mittebant, scil.), sed mercenariam vitam agentes in Creta consenuisse, ac Cretenses aliquando ad vetera persolvenda vota hominum misisse primitias Delphos, atque cum his qui mittebantur, mistam illorum Atheniensium sobolem una emigrasse. Qui quum victum sibi quærere in illis locis non valerent, in Italiam transmisisse primum, atque illic sedes circa Iapygiam collocasse : inde rursus delatos in Thraciam, et dictos Bottiæos : quapropter Bottiæorum virgines sacris quibusdam accinere solebant : Eamus Athenas.

Cur Bottiæorum virginibus mos fuit choreas ducentibus dicere : Eamus Athenas? Cretenses, ut perhibetur, ex voto primitias hominum Delphos miserunt. Missi quum viderent nullam ibi rerum copiam esse, inde in coloniam profecti primum incoluerunt Iapygiam, post Thraciæ istam partem, quæ Bottiæorum dicitur, obtinuerunt permixtis Atheniensibus. Apparet enim adolescentes, qui tributi nomine ab Atheniensibus mittebantur, a Minoe non fuisse interfectos, sed pro servis detentos. Horum ergo aliqui facti et habiti Cretenses, una cum reliquis Delphos missi erant. Itaque Bottiæorum filiæ gentis suæ memoriam celebrantes, in festivitatibus canebant : « Eamus Athenas. »

### GELOORUM.

107.

Aristoteles in Geloorum Republica alicubi dicit Gelonem Hieronis patrem hydrope mortuum esse; Hieronem vero

menis filius) ἐν στάσεσι καὶ πολέμοις γενόμενος χρόνον οὐ πολὺν ἐξέπεσε τῆς ἀρχῆς.

## ΔΕΛΦΩΝ.

107 (477).

Proverb. Coll. III apud E. Miller, *Mélanges de littérature grecque*, Paris, 1868, p. 369 : Τὸ Αἰσώπειον αἷμα. Αὕτη λέγεται κατὰ τῶν δυσαποτρίπτοις ὀνείδεσι περιπεπτωκότων· τοῖς γὰρ Δελφοῖς ἀνελοῦσι τὸν Αἴσωπον συνέβη δαιμόνιον χαλεπῆναι, ὡς μέμνηται καὶ Ἀριστοτέλης ἐν τῇ Δελφῶν Πολιτείᾳ.

Idem proverbium legitur apud Zenob. I, 47, Diogen. I, 46, Suidam s. v., apud quos δυσαπονίπτοις (v. l. δυσαπορρίπτοις) scriptum est, cf. Prov. Coll. IV apud Miller. l. l. p. 376 : Αἰσώπειον αἷμα. Ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσι κακοῖς (καὶ κακοῖς Suid. fortasse κακῶς) συνεχομένων· παρόσον Δελφοὶ τοῦτον ἀνελόντες πολλαῖς δι' αὐτὸν θεομηνίαις ὑπέπεσον ἀεὶ τὸν τούτου φόνου ὀνειδιζόμενοι. Rei mentio facta est apud Heraclidem in Republica Magnetum p. 20, 7 Schneidew : Φᾶμις. ἄρχων ἦν καὶ τούτου τοὺς υἱοὺς ὡς ἱεροσύλους συνέλαβον θύοντας. Ὅπερ φασὶ καὶ περὶ Αἴσωπον γεγονέναι. Καὶ γὰρ ἐκεῖνος ἐπὶ ἱεροσυλίᾳ διεφθάρη, φιάλης χρυσῆς φωραθείσης ἐν τοῖς στρώμασιν αὐτοῦ. Inde suspicatus est Schneidewinus narrationem apud Scholiast. ad Aristoph. Equites v. 1446 ex Aristotele petitam fuisse. Cf. Plutarch. De sera numinis vind. c. 12, Libanius Decl. XXXIX, p. 687, A. Æsopum in Samiorum quoque Republica nominaverat Aristoteles.

## ΔΗΛΙΩΝ.

108 (478).

Plinius Hist. nat. IV, 22 : *Hanc* (*Delum* scil.) Aristoteles *ita appellatam tradit, quoniam repente apparuerit enata*. Cf. Etymol. Magn. p. 264, 22 : Δῆλος... Εἴρηται ὅτι κρυπτομένην αὐτὴν ἐν τῇ θαλάσσῃ ὁ Ζεὺς δήλην ἐποίησε καὶ ἀνέδωκεν et ib. v. 30 : Καὶ τὴν νῆσον ἐκάλεσε Δῆλον, ὅτι ἐξ ἀδήλου βάσεως ἐρριζώθη, quæ e scholio in Il. α, 9 desumpta leguntur quoque apud Eustath. in Dionys. Perieg. v. 525. Aliter Eustath. in Odyss. p. 1557, 54 : Ὡς δὲ ἱερὰ ἡ Δῆλος Ἀπόλλωνος ὅ ἐστιν Ἡλίου δι' οὗ δῆλα γίνεται τὰ περὶ γῆν, ἐν ἄλλοις ἐγράφη. Similis narratio de Rhodo apud Heraclid. Pontic. p. 26, 1, Schneidew. Cf. Plin. Hist. nat. II, 89 : *Claræ jam pridem insulæ Delos et Rhodos memoriæ produntur enatæ.*

109 (479).

Diogenes Laert. VIII, 13 : Ἀμέλει καὶ βωμὸν προσκυνῆσαι (Πυθαγόραν φασίν scil.) μόνον ἐν Δήλῳ τὸν Ἀπόλλωνος τοῦ γενέτορος, ὅς ἐστιν ὄπισθεν τοῦ Κερατίνου, διὰ τὸ πυροὺς καὶ κριθὰς καὶ πόπανα μόνα τίθεσθαι ἐπ' αὐτοῦ ἄνευ πυρός, ἱερεῖον δὲ μηδέν, ὥς φησιν Ἀριστοτέλης ἐν Δηλίων Πολιτείᾳ.

Iamblichus de Vita Pythag. c. 5 § 25 : Λέγεται δὲ περὶ τὸν αὐτὸν χρόνον θαυμασθῆναι αὐτὸν περὶ τὴν Δῆλον, προσελθόντα μόνον (ita scrib. pro αὐτὸν) πρὸς τὸν ἀναίμακτον, λεγόμενον καὶ τοῦ γενέτορος Ἀπόλλωνος βωμὸν καὶ τοῦτον θεραπεύσαντα. Id. c. 7 § 35 : Καθάπερ καὶ πρότερον ὅτε εἰς Δῆλον κατέπλευσεν· ἐκεῖ τε γὰρ πρὸς μόνον τὸν βωμὸν τὸν τοῦ γενέτορος Ἀπόλλωνος προσευξάμενος, ὃς μόνος ἀναίμακτός ἐστιν, ἐθαυμάσθη παρὰ τοῖς ἐν τῇ νήσῳ.

110 (480).

Athen. VII, p. 296, C. : Ἀριστοτέλης δ' ἐν τῇ Δηλίων Πολιτείᾳ (Γλαῦκόν φησι τὸν θαλάττιον δαίμονα) ἐν Δήλῳ κατοικήσαντα μετὰ τῶν Νηρηίδων τοῖς θέλουσι μαντεύεσθαι. Cf. Gædechens, *Glaukos der Meergott*, Gotting. 1860, p. 46.

---

idem in Syracusanorum Republica refert urinæ difficultate laborasse.

DELPHORUM.

107.

*Æsopeus sanguis*. Proverbium dicitur de iis qui criminibus a quibus purgari difficile est circumventi sunt. Factum est enim ut numen Delphis qui Æsopum occiderant irasceretur, quemadmodum Aristoteles quoque in Delphorum Republica narrat.

DELIORUM.

109.

Pythagoram aiunt in Delo solam Apollinis genitoris aram, quæ pone aram ceratinam (*corneam*) est adorasse, quod frumentum et hordeum et placentas solas illi absque usu ignis imponere soleant, ceterum nullas victimas, ut Aristotelis in Deliorum Republica testimonio probatur.

110.

Aristoteles in Deliorum Republica Glaucum in Delo insula habitantem cum Nereidibus, volentibus vaticinari ait.

## (ΕΠΙΔΑΥΡΙΩΝ.)

111 (481).

Strabo VIII, p. 374 : Ἡ Ἐπίδαυρος δ' ἐκαλεῖτο Ἐπίκαρος· φησὶ γὰρ Ἀριστοτέλης κατασχεῖν αὐτὴν Κᾶρας ὥσπερ καὶ Ἑρμιόνην, τῶν δ' Ἡρακλειδῶν κατελθόντων Ἴωνας αὐτοῖς συνοικῆσαι τοὺς ἐκ τῆς Ἀττικῆς τετραπόλεως συνεπομένους εἰς Ἄργος.

Codd. omnes pro Ἐπίκαρος, Ἐπίταυρος, quod emendavit Casaubonus ex Steph. Byz. s. v. Ἐπίδαυρος... Κατὰ δὲ τὸν γεωγράφον καὶ Ἐπίκαρον αὐτὴν οἴονταί τινες ὡς Καρῶν αὐτήν ποτε κατεχόντων. Ἐπίκαρος habet Epitome Strab. Vatic. et Eustathius qui Strabonem exscripsit, in Iliad. p. 287. Cf. Al. Politus in comm. ad Eustathium, Florent. 1732, t. I, p. 603.

## (ΕΡΜΙΟΝΕΩΝ.)

112 (482).

Schol. in Theocrit. Id. XV, 64 : Πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἠγάγεθ' Ἥρην : Φησὶν ὅτι τὰ πάντα αἱ γυναῖκες γινώσκουσι καὶ ὅπως ὁ Ζεὺς λάθρᾳ τῇ Ἥρᾳ συνῆλθε. Καὶ Ὅμηρος·

Εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντε τοκῆας.
(Il. ξ, 296.)

Ἀριστοτέλης δ' ἐν τῷ περὶ τῆς Ἑρμιόνης ἱερῶν ἰδιώτερον ἱστορεῖ περὶ τοῦ Διὸς καὶ [τῆς] Ἥρας γάμου. Τὸν γὰρ Δία μυθολογεῖ ἐπιβουλεύειν τῇ Ἥρᾳ μιγῆναι, ὅτε αὐτὴν ἴδοι χωρισθεῖσαν ἀπὸ τῶν ἄλλων θεῶν. Βουλόμενον δὲ ἀφανῆ γενέσθαι καὶ μὴ ὀφθῆναι ὑπ' αὐτῆς, τὴν ὄψιν μεταβάλλειν εἰς κόκκυγα καὶ καθίσαι εἰς ὄρος, ὃ πρῶτον μὲν Θόρναξ (Θρόναξ vulg. quod corr. Hemsterh.) ἐκαλεῖτο, νῦν δὲ Κόκκυξ. Καὶ χειμῶνα ποιῆσαι δεινὸν τῇ ἡμέρᾳ ἐκείνῃ. Τὴν δὲ Ἥραν πορευομένην μόνην ἀφικέσθαι πρὸς τὸ ὄρος καὶ καθέζεσθαι ἐπ' αὐτό, ὅπου νῦν ἐστὶν ἱερὸν Ἥρας τελείας. Τὸν δὲ κόκκυγα ἰδόντα καταπετασθῆναι καὶ καθεσθῆναι ἐπὶ τὰ γόνατα αὐτῆς, πεφρικότα καὶ ῥιγῶντα διὰ τὸν χειμῶνα. Τὴν δὲ Ἥραν ἰδοῦσαν αὐτὸν οἰκτεῖραι καὶ περιβαλεῖν τῇ ἀμπεχόνῃ. Τὸν δὲ Δία εὐθέως μεταβαλεῖν τὴν ὄψιν καὶ ἐπιλαβέσθαι τῆς Ἥρας. Τῆς δὲ τὴν μῖξιν παραιτουμένης διὰ τὴν μητέρα, αὐτὸν ὑποσχέσθαι γυναῖκα ταύτην ποιήσασθαι. Καὶ παρ' Ἀργείοις δὲ οἳ μέγιστα τῶν Ἑλλήνων τιμῶσι τὴν θεόν, τὸ ἄγαλμα τῆς Ἥρας ἐν τῷ ναῷ καθήμενον ἐν θρόνῳ τῇ χειρὶ ἔχει σκῆπτρον, καὶ ἐπ' αὐτῷ τῷ σκήπτρῳ Κόκκυξ [ἐπικάθηται].

Sotion atque Heraclides et Pamphila in quinto Commentariorum duos aiunt fuisse Periandros, tyrannum alterum, alterum vero sapientem, eumque Ambracioten. Idem Neanthes quoque Cyzicenus dicit, addens patrueles sibi invicem fuisse. Porro Aristoteles Corinthium asserit fuisse sapientem, Plato negat.

(CRETENSIUM.)

140.

Aristoteles dicit Herculem a Rhadamantho educatum esse.

141.

Aristoteles dicit primum Achillem ad Patroclis rogum pyrrhiche usum esse, quam saltationem Cypriis (*immo Cretensibus*) prylin appellari ait. Pyrrhicham vero nominatam esse a pyra sive rogo.

*visse. Aristoteles autem Achillem ait hujus lusus inventorem fuisse. Quibusdam placet ab ardore, id est a velocitate, sui soni nomen accepisse hunc pedem*, ἀπὸ τοῦ πυρός, *id est a flamma, et per hoc a velocitate*. Cf. Hesych. s. v. Πυρριχίζειν : Τὴν ἐνόπλιον ὄρχησιν καὶ σύντονον πυρρίχην ἔλεγον, οἱ μὲν ἀπὸ Πυρρίχου τοῦ Κρητός, οἱ δὲ ἀπὸ τοῦ διάπυρον εἶναι, οἱ δὲ ἀπὸ Πύρρου τοῦ Ἀχιλλέως· ἐφησθέντα γὰρ τῷ Εὐρυπύλου φόνῳ ὀρχήσασθαί φησιν Ἀρχίλοχος, ὅθεν καὶ ὁ πυρρίχιος ποῦς ὠνομάσθη, Etym. M. 699, 1, Etym. Gud. p. 488, 38, Eustath. in Iliad. p. 1078, in Odyss. p. 1697. Nicol. Damasc. fr. 115 Müll.: Τὴν ἐνόπλιον πυρρίχην ἐκπονοῦντες, ἥντινα πρῶτος εὗρε Πύρριχος Κυδωνιάτης Κρὴς τὸ γένος.

## (ΚΡΟΤΩΝΙΑΤΩΝ.)

142 (512).

Schol. Theocrit. IV, 6 : Μίλων : Τὸν Κροτωνιάτην Μίλωνά φησιν, ὃν καὶ Ἀριστοτέλης πολυφάγον φησί· λέγουσι δὲ αὐτὸν εἶναι καὶ ἀνδρεῖον. Κατεβρώθη δὲ οὗτος ὑπὸ θηρίων ἢ κυνῶν· ἐλθὼν γὰρ εἰς ὄρος καὶ εὑρών τινας δένδρον σχίζοντας, σφῆνα δὲ βαλόντας ἐν μέσῳ τοῦ ξύλου, θέλων αὐτὸς ἐκβαλεῖν τὸν σφῆνα ἐκρατήθη ἐκεῖ καὶ οὕτως ἐτελεύτησε.

Eadem Eudocia Viol. p. 291 e Scholiis. Cf. Pausan. VI, 14.

## (ΚΥΘΗΡΙΩΝ.)

143 (513).

Stephan. Byz. s. v. Κύθηρα : Νῆσος πόλιν ὁμώνυμον ἔχουσα πρὸς τῇ Κρήτῃ, ἀπὸ Κυθήρου τοῦ Φοίνικος. Ἐκαλεῖτο δὲ Πορφύρουσσα διὰ τὸ κάλλος τῶν περὶ αὐτὴν πορφυρῶν, ὡς Ἀριστοτέλης.

Τῶν περὶ αὐτῶν πορφυρῶν emendatio est Meinekii, pro τὸ περί vel παρὰ τῶν πορφ., ut in codd. legitur. Eustathius, qui eadem e Stephano habet in Il. p. 80, 36 : Διὰ τὸ καλλίστας φέρειν πορφύρας, cf. idem in Il. p. 1024, 17 et in Dionys. Perieg. 198. Plin. Hist. Nat. IV, 19, 56 : *Cythera cum oppido, antea Porphyris appellata*. Cf. Steph. Byz. v. Νίσυρος et de Cytheriis Heraclidis Excerpta c. 24. Ad eandem Rempublicam referenda fortasse est glossa apud Hesychium : Κυθηρο[δίκης] ἀρχή τις τὰ ξενικὰ διοικοῦσα, quanquam et ad Thucydidem IV, 53 pertinere potest.

## ΚΥΘΝΙΩΝ.

144 (514).

Harpocration s. v. Κύθνιοι : Δημοσθένης ἐν τῷ περὶ Συντάξεως (§ 34). Κύθνος μία τῶν Κυκλάδων νήσων, ὡς Ἀριστοτέλης ἐν τῇ Κυθνίων Πολιτείᾳ.

Supplenda hæc videntur e Stephano Byz. s. v. Κύθνος· νῆσος πρὸς τῇ Δρυοπίδι τῶν Κυκλάδων, ἀπὸ Κύθνου κτίσαντος. Ἐκαλεῖτο δὲ καὶ Ὀφιοῦσσα καὶ Δρυοπίς.

145 (515).

Zenob. Prov. IV, 83 : Κυθνώλεις συμφοραί: Τοῦτο εἰς παροιμίαν ἦλθε διὰ τὰ Κυθνίοις συμβάντα. Φησὶ γὰρ Ἀριστοτέλης οὕτω κακῶς αὐτοὺς διατεθῆναι ὑπὸ Ἀμφιτρύωνος, ὥστε τὰς μεγάλας συμφορὰς κυθνώλεις καλεῖσθαι.

Similiter Hesychius s. v. Κυθνώλης : ἐξώλης. Ἔνιοι δὲ πεποιῆσθαι τὴν λέξιν φασὶν ἀπὸ Κύθνου τῆς νήσου· ἀπολέσθαι γὰρ αὐτὴν ὑπὸ Ἀμφιτρύωνος. Aliter Helladius in Chrestom. apud Photium Biblioth. p. 533, 14 Bekk. : Ὅτι τὸ Κυθνώλης διὰ τοῦ λ γράφουσιν, ἀλλ' οὐ διὰ τοῦ δ, Ἄργους γὰρ ἦν χωρίον τι καλούμενον Κύθνιον, οὗ τοὺς ἄνδρας ποτὲ Ἀμφιτρύων ἀνεῖλε πάντας πλὴν ὀλίγων πάνυ.

## ΚΥΜΑΙΩΝ.

146 (516).

Schol. ABI Euripid. Medea v. 19, t. IV, p. 8, 25 Dind. : Κρέοντος παῖδ' ὃς αἰσυμνᾷ χθονός : Αἰσυμνᾷ ἡγεῖται καὶ ἄρχει : Ἰδίως δέ φησιν Ἀριστο-

---

(CROTONIATARUM.)

142.

Milonem Crotoniatam Aristoteles quoque voracem fuisse dicit.

(CYTHERIORUM.)

143.

Cythera, insula urbem habens ejusdem nominis non procul Cretam versus, a Cythero Phœnice. Appellabatur autem Porphyrussa ob pulchritudinem ostreorum (τῶν πορφυρῶν), ut ait Aristoteles.

CYTHNIORUM.

144.

Cythna una ex Cycladibus, ut Aristoteles ait in Cythniorum Republica.

145.

Κυθνώλεις συμφοραί (*Cythniæ calamitates*). Hoc in proverbium abiit, propter ea quæ Cythniis acciderunt. Dicit enim Aristoteles tam male eos tractatos ab Amphitryone esse, ut magnæ calamitates Cythniæ vocarentur.

CYMÆORUM.

146.

Αἰσυμνᾷ id est imperat et regnat. Proprio autem modo

τέλης ὑπὸ [τῶν] Κυμαίων αἰσυμνήτην τὸν ἄρχοντα λέγεσθαι.

Ex Scholiaste sua habere videtur auctor Etym. M. p. 39, 15. Paulo aliter Argument. Sophocl. Œdip. Tyr. : Ὅτι δὲ νεώτερος τὸ τοῦ τυράννου ὄνομα δῆλον· οὔτε γὰρ Ὅμηρος οὔτε Ἡσίοδος οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει· ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων Πολιτείᾳ τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας προσαγορεύεσθαι. Εὐφημότερόν γ' ἐκεῖνο τοὔνομα, cum quo ad verbum consentit Suidas s. v. Τύραννος. Ad Politica hæc potius spectare videntur ubi legitur III, 9, § 5 : Δύο μὲν οὖν εἴδη ταῦτα μοναρχίας· ἕτερον δ' ὅπερ ἦν ἐν τοῖς ἀρχαίοις Ἕλλησιν, οὓς καλοῦσιν αἰσυμνήτας.

147 (517).

Etymol. Magn. 199, 4 s. v. Βλάξ ... Εἰς δὲ τὸ Λεξικὸν τὸ ῥητορικὸν εὗρον ἐγὼ εἰρῆσθαι τὴν λέξιν ἀπὸ ἰχθύος τινὸς ὁμοίου σιλούρῳ, ἀχρήστου δὲ οὕτως ὡς μηδὲ κύνα αὐτῷ χρῆσθαι ... Οἱ δὲ ἀπὸ τοῦ πρὸς τῇ Κύμῃ χωρίου τῆς Βλαχείας, οὗ μέμνηται καὶ Ἀριστοτέλης. Καὶ ἐν Ἀλεξανδρείᾳ δὲ τέλος τι βλαχεννόμιον κτέ.

Cf. Suidas et Apostolius IV, 99 s. v. Βλακὸς ἀχρηστότερος et omisso nomine Aristotelis Schol. Platon. Politic. p. 373 Bekk. et Schol. Luciani Dial. mortuor. p. 76 Jacobitz.

## ΚΥΠΡΙΩΝ.

148 (518).

Harpocration s. v. Ἄνακτες καὶ ἄνασσαι : Οἱ μὲν υἱοὶ τοῦ βασιλέως καὶ οἱ ἀδελφοὶ καλοῦνται ἄνακτες, αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες ἄνασσαι· Ἀριστοτέλης ἐν τῇ Κυπρίων Πολιτείᾳ.

Cod. E. Ἀρ. ἐν τῇ Κ. π. φησί· « Καλοῦνται — ἄνασσαι. » Eadem Suidas. Cf. Clearchus apud Athenæum VI p. 256, A et Eustath. ad Iliad. p. 947, 50 Rom.

149 (519).

Pollux II, 95 : Ὁ δὲ Νικοκλέους τοῦ Κυπρίου πατήρ, ᾧ τὰς παραινέσεις ὁ Ἀθηναῖος σοφιστὴς (sc. Isocrates) ἔγραψεν, τὸ μὲν ὄνομα αὐτῷ Τίμαρχος ἦν, διστοίχους δ' εἶχεν ἄρα τῷ Ἀριστοτέλους λόγῳ τοὺς ὀδόντας, κατὰ δὲ τὴν Ἴωνος τοῦ Χίου δόξαν τριστοίχους Ἡρακλῆς.

Ex Polluce (quem citat v. 955, Ἰούλιος) Tzetzes Chiliad. III, 961 :

Τίμαρχον τὸν πατέρα δὲ Κυπρίου Νικοκλέους
Ἀριστοτέλης γέγραφε δίστοιχον τοῖς ὀδοῦσιν.

Eadem Plinius Hist. Nat. XI, 63 : *Timarchus Nicoclis filius Paphii duos ordines habuit maxillarum. Frater ejus non mutavit primores ideoque prætrivit.*

## ΚΥΡΗΝΑΙΩΝ.

150 (520).

Schol. Aristoph. Pluti 925 : Καὶ τὸ Βάττου σίλφιον : Βάττος Κυρήνην ἔκτισεν ἐλθὼν ἀπὸ Θήρας τῆς κατὰ Κρήτην νήσου· ὃν τιμήσαντες Λίβυες ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων τὸ σίλφιον καὶ ἐν νομίσματι (νομίσμασιν habet Eudocia Viol. p. 92, quæ hoc schol. exscripsit) αὐτὸν ἐχάραξαν, τῇ μὲν βασιλείαν, τῇ δὲ σίλφιον παρὰ τῆς πόλεως δεχόμενον, ὡς Ἀριστοτέλης ἐν τῇ Κυρηναίων Πολιτείᾳ. Ἔνθεν καὶ ἡ παροιμία ἐπὶ τῶν διαφόρους καὶ ἐξόχους τιμὰς δεχομένων. — Ἄλλως. Σίλφιον βοτάνη πολυτίμητος· ἡ δὲ αἰτία τοιαύτη ἐστί. Βάττος ὁ καὶ Ἀριστοτέλης πόλιν ἐν Λιβύῃ Κυρήνην ἔκτισε κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος χρησμόν. Καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν τῆς εὐερ-

---

Cymæi αἰσυμνήτην summum magistratum vocant, teste Aristotele.

Aristoteles in Cymæorum Republica dicit tyrannos olim αἰσυμνήτας appellatos esse, quoniam id nomen honestius.

147.

*Blace ineptior* dici nonnulli putant a Blace, loco prope Cumam sito, cujus meminit etiam Aristoteles.

CYPRIORUM.

148.

Filii regis et fratres appellantur ἄνακτες, sorores et uxores ἄνασσαι. Aristoteles in Cypriorum Republica.

149.

Nicoclis Cyprii pater cui admonitiones scripsit Atheniensis sophistes, nomen illi erat Timarcho, ut Aristoteles tradit, duplicem ordinem maxillarum habuit.

CYRENÆORUM.

150.

Battus a Thera, quæ insula e regione Cretæ sita est, profectus Cyrenas condidit. Quem quum in honore Libyes haberent, gratificati ei sunt pulcherrimum olerum, silphium, atque imaginem Batti in nummo expresserunt altera manu potestatem regiam, altera silphium ab urbe accipientem, ut Aristoteles tradit in Cyrenæorum Republica. Hinc etiam proverbium de iis quibus eximii et insignes honores habentur, usurpari solet.

γεσίας βουλόμενοι χαρίσασθαι τῷ βασιλεῖ ἐποίησαν (εἰκόνα· ὡς δέ τινες add. Eudoc.) δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον. Καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ κλάδος καὶ ὁ ὀπὸς καὶ ἁπλῶς τὸ πᾶν αὐτοῦ πολλῆς τιμῆς ἄξιόν ἐστιν. Καὶ οἱ Ἀμπελιῶται δὲ ἔθνος Λιβύης εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου, ὥς φησιν Ἀλεξανδρίδης. Cf. Suidas s. v. Βάττου σίλφιον· ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων· οἱ γὰρ Κυρηναῖοι ἑνὶ τῶν Βάττων ἐξαίρετον ἔδοσαν τὸ σίλφιον καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν· οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου, cum quo faciunt Apostol. Prov. IV, 76, App. Prov. I, 51, Macarius II, 71. Paulo aliter Hesychius s. v. Βάττου σίλφιον· παροιμία ἐπὶ τῶν τὰς ὑπερβαλλούσας τιμὰς εὑρισκομένων. Μετενήνεκται δὲ ἀπὸ τοῦ τοὺς Κυρηναίους ἑνὶ τῶν Βαττιαδῶν μεταδοῦναι ἐξαίρετον τὸ σίλφιον, ὃ ἐκτέτμηται παρ' αὐτοῖς, ὥστε καὶ ἐν τῷ νομίσματι ὅπου μὲν Ἄμμωνα ὅπου δὲ σίλφιον ἐγκεχαράχθαι. Priora tantummodo Lex. Rhet. Seguer. p. 224, 30.

Cum altero Aristophanis Scholiaste conjungendus est Georgius Syncellus Chronograph. t. I, p. 400, 16 Dindorf. : Θηβαῖοι Κυρήνην ᾤκισαν κατὰ χρησμόν· οἰκιστὴς δὲ αὐτῆς Βάττος, ὁ καὶ Ἀριστοτέλης, unde illud perspicitur in Schol. Aristoph. non cum edit. Ald. legendum esse ὡς Ἀριστοτέλης. Ceterum apud Syncellum, pro Θηβαῖοι corrigendum est Θηραῖοι. Cf. Schneidewin. in Heraclid. Pont. p. 59 sq., Spanhem. Not. in Callimachi Hymn. in Apollin. v. 76, R. Rochette *Histoire des colonies grecques*, t. III, p. 259 sqq. Ab hoc Batto sive Aristotele diversus est Aristoteles Cyrenæus de quo loquitur Clemens Alexandr. Stromat. III, p. 192 Sylb., cui vero minime tribuendum erit, ut C. Müllerus volebat l. l. fr. 207, quod in Etymol. M. p. 33, 3 legitur : Αἰθήρ, παρὰ τὸ ἀεὶ θεῖν κυκλοφορικῶς, φησὶν Ἀριστοτέλης περὶ Κυρηναίων. Illud Κυρηναίων falso pro Κόσμου scriptum esse optimo jure conjecit Kulenkampius, quum in libro de Mundo c. 2 (t. III, p. 628, 26) iisdem pæne verbis dicatur : Οὐρανοῦ δὲ καὶ ἄστρων οὐσίαν μὲν αἰθέρα καλοῦμεν .... διὰ τὸ ἀεὶ θεῖν κυκλοφορουμένην. Cf. de Cælo I, 3.

151 (521).

Pollux IX, 60 et 62 : Ἡ μέντοι δραχμὴ εἶχεν ὀβολοὺς ἕξ... Ἦν δὲ οὐ δραχμὴ νόμισμα μόνον, ἀλλὰ καὶ πεντηκοντάδραχμον καὶ πεντάδραχμον παρὰ Κυρηναίοις καὶ τετράδραχμον ἐκαλεῖτο καὶ τρίδραχμον καὶ δίδραχμον. Τὸ παλαιὸν δὲ τοῦτ' ἦν Ἀθηναίοις νόμισμα καὶ ἐκαλεῖτο βοῦς ... ἦν μέντοι, ὡς Ἀριστοτέλης φησίν, ἐν Κυρήνῃ καὶ τετραστάτηρον καὶ στατὴρ καὶ ἡμιστάτηρον χρυσοῦ νομίσματα.

152 (522).

Hesychius s. v. Ἀμμοῦς : ὁ Ζεὺς Ἀριστοτέλης. In Hesychii codice Ἀριστό, superscripto τλ, legitur, quod librarii errore pro Herodoti nomen poni potuisse, apud quem hæc forma exstat II, 42, suspicatur Rosius. Cf. Plutarch. de Isid. c. 9.

153 (523).

Antigon. Mirabil. c. 144 : Τῶν δ' ἐν Ἄμμωνι κρηνῶν λέγειν (φησὶ Καλλίμαχος cf. Antig. c. 129) Ἀριστοτέλη, ὅτι τὴν μὲν Ἡλίου γε νομιζομένην μέσων μὲν νυκτῶν καὶ μεσημβρίας γίγνεσθαι θερμήν, ἕωθεν δὲ καὶ δείλης καθαπερεὶ κρύσταλλον, ἡ δ' ἄλλη διότι καταβαίνοντος μὲν ἡλίου πηγνύει, ἐπὶ δυσμαῖς δ' ἰόντος ἵσταται.

Sotion c. 19 : Ἀριστοτέλης Ἄμμωνος κρήνην εἶναί φησιν, ἧς τὸ μὲν ὕδωρ μεσημβρίας καὶ μεσονυκτίου γίνεσθαι θερμόν, ὃν φύσει ψυχρότατον. Plinius Hist. Nat. II, 106 : *Jovis Hammonis stagnum interdiu frigidum noctibus fervet. In Troglodytis fons Solis appellatur dulcis et circa meridiem maxime frigidus, mox paulatim tepescens ad noctis media fervore et amaritudine infestatur.*

## ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ.

154 (524).

Schol. Pindari Isthm. VI, 18 : Ἡ Αἰγ...

151.

Drachma vero continebat obolos sex... Non autem drachma modo nummi nomen erat sed et pentecontadrachma et pentedrachma apud Cyrenæos et tetradrachma dicebatur et tridrachma et didrachma. Vetus autem erat Atheniensium nummus *bos* appellatus ... Erat vero, ut Aristoteles tradit, apud Cyrenæos et tetrastater et stater et hemistater, nummi aurei.

152.

Ἀμμοῦς (*Ammon*). Jupiter, Aristoteles.

153.

De fontibus apud Ammonem esse ab Aristotele perhibitum (dicit Callimachus) eum qui Solis esse putatur media nocte et media die calescere, mane et vespere instar esse glaciei; alterum vero sole descendente concrescere, stare autem sole ad occasum accedente.

LACEDÆMONIORUM.

154.

Ægidæ gens Thebanorum; ex quo nonnulli Spartam venerunt, ut Lacedæmoniis opitularentur in bello contra Amyclæenses. Ducem Ægidæ isti habuerunt Timomachum, qui primus omnia quæ ad bellum pertinent Lacedæmoniis ordinavit; quapropter magnis apud eos affecti

ἀποικίαν : Αἰγεῖδας νῦν οὐκ ἂν εἴη λέγων τοὺς Ἀθηναίους· περὶ γὰρ Θηδῶν ὁ λόγος. Καὶ εἰσὶν Αἰγεῖδαι φατρία Θηβαίων ἀφ' ἧς ἧκόν τινες εἰς Σπάρτην Λακεδαιμονίοις βοηθήσοντες ἐν τῷ πρὸς Ἀμυκλαεῖς πολέμῳ, ἡγεμόνι χρησάμενοι Τιμομάχῳ, ὃς πρῶτος μὲν πάντα τὰ πρὸς πόλεμον διέταξε Λακεδαιμονίοις, μεγάλων δὲ παρ' αὐτοῖς ἠξιώθη τιμῶν· καὶ τοῖς Ὑακυνθίοις δὲ ὁ χάλκεος αὐτῷ θώραξ προτίθεται· τοῦτον δὲ Θηβαῖοι ὅπλον ἐκάλουν. Ταῦτα ἱστορεῖ καὶ Ἀριστοτέλης ἐν τῇ Λακώνων Πολιτείᾳ. Ἔνιοι δέ φασι τὸν Πίνδαρον νῦν μὴ τοῦ πρὸς Ἀμυκλαεῖς πολέμου μνημονεύειν μηδὲ τῶν σὺν Τιμομάχῳ Αἰγειδῶν, ἀλλὰ τῶν σὺν τοῖς Ἡρακλείδαις εἰς Πελοπόννησον κατελθόντων, ὧν Ἀριστόμαχος ὁ Κλεάδα καὶ Κλεάδας ὁ Ὕλλου ἡγοῦντο· καὶ γὰρ τότε Θήβηθεν ἥκειν τοῖς Δωριεῦσι τοὺς ἁψαμένους τῆς καθόδου Αἰγείδας μετὰ τῶν Ἀθηναίων, εἶναι δὲ τοὺς Θήβηθεν Αἰγείδας τὸ ἀνέκαθεν Ἀθηναίους. Δυεῖν οὖν ἀποστάσεων ἐκ τῆς τῶν Αἰγειδῶν τῶν Θηβαίων (φατρίας inseruit Bœckh.) εἰς Σπάρτην γεγονυιῶν, ἔργον ἀποφήνασθαι ποτέρας ὁ Πίνδαρος νῦν μνημονεύει. Μήποτε δὲ τῆς δευτέρας. Ἀριστοτέλης γάρ φησιν ὅτι πολεμοῦντες οἱ Λάκωνες Ἀμυκλαεῦσιν, ὡς ἐπύθοντο παρὰ θεοῦ τοὺς Αἰγείδας συμμάχους λαβεῖν, εἰς Ἀθήνας ἐπορεύοντο, καταλύσαντες δὲ ἐν Θήβαις εὐωχουμένης τῆς τῶν Αἰγειδῶν φατρίας ἐκλήθησαν. Ἀκούσαντες [δὲ] μετὰ δεῖπνον εὐχομένου τοῦ ἱερέως διδόναι τοῖς Αἰγείδαις τοὺς θεοὺς τὰ ἀγαθὰ καὶ συμβαλόντες τὸν χρησμὸν ἐντεῦθεν ἔλαβον τὴν συμμαχίαν.

Cf. Schol. Pind. Pyth. V, 101 : Διτταὶ δὲ αἱ τῶν Θήβηθεν Αἰγειδῶν εἰς Σπάρτην ἀφίξεις. Προτέρα μὲν ἡ σὺν τοῖς Δωριεῦσι καὶ Ἀριστοδήμῳ ἧς μέμνηται Ἔφορος ἐν τῇ πρώτῃ λέγων (cf. fr. 11 Müller)... ἑτέρα δὲ ἡ σὺν Τιμομάχῳ, ἐν ᾧ πρὸς Ἀμυκλαεῖς Λακεδαιμονίοις καθειστήκει πόλεμος.

155 (525).

Plutarch. V. Lycurgi c. 1 : Ἥκιστα δὲ οἱ χρόνοι καθ' οὓς γέγονεν ὁ ἀνὴρ (ὁ Λυκοῦργος .scil.) ὁμολογοῦνται. Οἱ μὲν γὰρ Ἰφίτῳ συνακμάσαι καὶ συνδιαθεῖναι τὴν Ὀλυμπιακὴν ἐκεχειρίαν λέγουσιν αὐτόν, ὧν ἐστὶ καὶ Ἀριστοτέλης ὁ φιλόσοφος τεκμήριον προσφέρων τὸν Ὀλυμπίασι δίσκον, ἐν ᾧ τοὔνομα τοῦ Λυκούργου διασώζεται καταγεγραμμένον. Cf. Heracl. Excerpta p. 6, 12 Schneidew. et Hermippus apud Plutarch. V. Lyc. c. 23.

156 (526).

Clemens Alex. Stromat. I, c. 26, p. 152 Sylb. : Τὸν δὲ Μίνω παρὰ Διὸς δι' ἐννάτου ἔτους λαμβάνειν τοὺς νόμους ἱστοροῦσι φοιτῶντα εἰς τὸ τοῦ Διὸς ἄντρον, τόν τε αὖ Λυκοῦργον τὰ νομοθετικὰ εἰς Δελφοὺς πρὸς τὸν Ἀπόλλωνα συνεχὲς ἀπιόντα παιδεύεσθαι γράφουσι Πλάτων τε καὶ Ἀριστοτέλης καὶ Ἔφορος.

Quæ statim sequuntur apud Clementem Alex. v. infra in Locrorum Politia fr. 171.

157 (527).

Plutarch. V. Lycurg. c. 31 : Ὁ δὲ (Λυκοῦργος)... ὑπερῆρε τῇ δόξῃ τοὺς πώποτε πολιτευσαμένους ἐν τοῖς Ἕλλησι. Δι' ὅπερ καὶ Ἀριστοτέλης ἐλάττονας σχεῖν φησὶ τιμὰς ἢ προσῆκον ἦν αὐτὸν ἔχειν ἐν Λακεδαίμονι, καίπερ ἔχοντα τὰς μεγίστας. Ἱερόν τε γάρ ἐστιν αὐτοῦ καὶ θύουσι καθ' ἕκαστον ἐνιαυτὸν ὡς θεῷ.

---

est honoribus. Hyacinthiis festo æneus ei thorax publice exponitur, quem ὅπλον Thebani vocabant. Narrat hæc et Aristoteles in Laconum Republica. Quidam vero dicunt Pindarum nunc de bello contra Amyclæenses loqui nec de Ægidis qui cum Timomacho erant, sed de iis qui cum Heraclidis in Peloponnesum venerunt, quorum duces erant Aristomachus Cleadæ filius et Cleadas Hylli. Etenim Thebis tunc venisse qui Doriensibus opem tulerint Ægidas cum Atheniensibus, esse vero Ægidas e Theba ortos genere Athenienses. Quum igitur duæ expeditiones a gente Ægidarum Spartam factæ sint, difficile est dijudicare cujus Pindarus nunc mentionem faciat. Fortasse alterius. Aristoteles enim dicit Lacedæmonios contra Amyclæenses bellum gerentes, quum oraculo edocti essent Ægidas socios ipsis assumendos esse, primum profectos esse Athenas, deinde Thebis, quo deverterant, ad convivium gentes Ægidarum invitatos esse; ibi quum post cœnam sacerdotem audiissent, precantem ut Ægidis dii bona darent, oraculi sensu perspecto, hinc socios sibi arcessivisse.

155.

Minime vero quo tempore vixerit Lycurgus in confesso est. Alii enim Iphiti temporibus claruisse, eumque in Olympiacis feriis instituendis adjuvisse tradunt; estque hujus sententiæ etiam Aristoteles philosophus, indicii loco discum Olympium adducens, in quo nomen Lycurgi incisum adhuc exstet.

156.

Minoem ad Jovis antrum venientem, novem annorum spatio leges a Jove accepisse et Lycurgum assidue Delphos euntem ad Apollinem, leges ab eo didicisse, scribunt Plato, Aristoteles et Ephorus.

157.

Lycurgus ... merito omnibus illis qui unquam apud Græcos rempublicam attigerunt, gloria longe anteponitur. Ideoque et Aristoteles ait minores eum apud Spartanos, quam quos par erat, honores adeptum, quum sit quidem

164 (534).

Schol. Aristoph. Acharn 320 : Ἀριστοτέλης δέ φησιν ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ χρῆσθαι Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους, τοῦτο μὲν ὅτι τὸ τῆς χρόας ἀνδρικόν, τοῦτο δὲ ὅτι τὸ τοῦ χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥύσεως ἐθίζει καταφρονεῖν. Ex hoc scholio exscriptum videtur quod a Gailio editum est in Xenoph. Anabas. I, 2, 16 : Χρῶνται γὰρ οἱ Ἕλληνες χιτῶσι φοινικίοις πρὸς τοὺς πολέμους· τοῦτο μέν, ὥς φησιν Ἀριστοτέλης, ὅτι τῆς χρόας κτἑ. Brevius Mœris Att. s. v. Φοινικίς· Ἔνδυμα Λακωνικὸν ὁπότε εἰς πόλεμον ἴοιεν, διὰ τὸ ὁμοχροεῖν τῷ αἵματι. Ἀριστοτέλης ἐν Πολιτείᾳ λέγει (add. Λακεδαιμονίων). E Schol. Aristophanis Suidas s. v. Φοινικίδα, nomine Aristotelis addito, omisso vero s. v. Καταξαίνειν εἰς φοινικίδα. Cf. Etymol. M. p. 385, 25, Thomas Mag. s. v. Φοινικίς, Schol. Aristoph. Pax v. 1173 : Ταῖς γὰρ φοινικίσιν ἐχρῶντο Λακεδαιμόνιοι, ἵνα μὴ αἰσθάνωνται τοῦ αἵματος διὰ τὴν ὁμοιότητα, καὶ ἵνα τρωθέντες μὴ νοηθῶσι τοῖς πολεμίοις. Ex Aristotele manifesto expressa sunt Plutarchi Instit. Laconic. c. 24 : Ἐν τοῖς πολέμοις φοινικίσιν ἐχρῶντο· ἅμα μὲν γὰρ ἡ χρόα ἐδόκει αὐτοῖς ἀνδρικὴ εἶναι, ἅμα δὲ τὸ αἱματῶδες τοῦ χρώματος πλείονα τοῖς ἀπείροις φόβον παρέχειν. Καὶ τὸ μὴ εὐπερίφωρον δὲ τοῖς πολεμίοις εἶναι ἐάν τις αὐτῶν πληγῇ, ἀλλὰ διαλανθάνειν διὰ τὸ ὁμόχρουν, χρήσιμον. Cf. præterea Ælian. Var. Hist. VI, 6, Valer. Max. II, 6, 2

165 (535).

Harpocration s. v. Καὶ γὰρ τὸ μηδένα τῶν μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων γνώμης ἀποδημεῖν : Ἰσοκράτους ἐν Βουσίριδι (§ 18) περὶ Λακεδαιμονίων ταῦτα λέγοντος ῥητέον ὅτι καὶ οἱ τὰς Λακεδαιμονίων πολιτείας γεγραφότες τὰ ὅμοια εἰρήκασιν. Ὁ δὲ Ἀριστοτέλης οὐκ ἐξεῖναί φησιν ἀποδημεῖν τοὺς Λακεδαιμονίους, ὅπως μὴ ἐθίζωνται ἄλλων νόμων εἶναι φίλοι. Τοῦ μέντοι Ἰσοκράτους τοὺς μαχίμους μόνους λέγοντος κωλύεσθαι ἀποδημεῖν οἱ περὶ Ἀριστοτέλην τοὺς πάντας Λακεδαιμονίους φασίν. Cum Aristotele facit Plutarch. Instit. Laconic. c. 19 : Ἀποδημεῖν δὲ οὐκ ἐξῆν αὐτοῖς, ἵνα μὴ ξενικῶν ἐθῶν καὶ βίων ἀπαιδεύτων μετάσχωσι.

166 (536).

Zenobius Prov. II, 24 : Ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν : Αὕτη λέλεκται ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν βουλομένων. Μετενήνεκται δὲ ἀπὸ χρησμοῦ δοθέντος Λακεδαιμονίοις, ἐν ᾧ ἔχρησε τότε ὁ θεὸς ἀπολεῖσθαι τοὺς Λακεδαιμονίους, ὅταν ἀργύριον καὶ χρυσίον τιμήσωσι. Μέμνηται τοῦ χρησμοῦ Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ.
Ἕλοι codd. Zenobii, Diogen. Prov. II, 36, Plutarchi Prov. 43, Macar. II, 68, Arsen. 87, Prov. Collect. III, apud E. Miller, *Mélanges de littérature grecque*, Paris 1868, p. 372 (ubi male scriptum est Ἀφιλοχρηματία), ὀλεῖ vero tuentur Diodor. VII, 14, 5, Plutarch. Instit. Lacon. 41, Olympiodorus in Platonis Alcib. p. 164 Creuz., Cicero de Offic. II, 11 : *Apollo Pythius oraculo edidit, Spartam nulla re, nisi avaritia perituram.* Paulo aliter :

167 (537).

Schol. A (Vatic.) Euripid. Andromach. 446 (t. IV, p. 165, 14 Dind.) : Ἑξῆς δὲ αὐτοὺς (τοὺς Σπαρτιάτας scil.) εἴς τε τὰ ἄλλα καὶ φιλοχρηματίαν κακῶς λέγει. Καὶ Ἀριστοτέλης δὲ τοῦτο ἱστορεῖ ἐν τῇ τῶν Λακώνων Πολιτείᾳ καὶ τὸ ὑπὸ [τοῦ] θεοῦ αὐτοματισθὲν προστίθησιν ἔπος·

Ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ (cod. ἕλοι) ἄλλο γὰρ οὐδέν.

Ceterum, Aristotelem fortasse secutus, oraculum ad Theopompi regis ætatem refert Plutarchus Instit. Lacon. 41 : Ἀλκαμένει γὰρ καὶ Θεοπόμπῳ τοῖς βασιλεῦσι χρησμὸς ἐδόθη· Ἁ φιλοχρηματία κτἑ, Diodorus contra, VII, 14, 5, ad ipsum Lycurgum.

168 (538).

Eustath. ad Iliad. ι, 129, p. 741, 16 Rom. : Ἰστέον δὲ καὶ ὅτι δοκεῖ οὐκ ἀγαθοὺς ἀνθρώπους ἡ

---

165.

Aristoteles non licere dicit Lacedæmoniis peregrinari, ne aliarum legum studio assuescerent. Dum Isocrates ait solos militares peregrinatione prohibitos esse, Aristoteles omnes Lacedæmonios dicit.

166.

Avaritia Spartam perdet aliud nihil. Hoc proverbium de iis dicitur, qui ex omni re quæstum facere student. Translatum est ab oraculo Lacedæmoniis dato, quo vaticinatus deus est tum Lacedæmonios perditum iri, quum argentum et aurum in honore habere cœperint. Meminit oraculi Aristoteles in Lacedæmoniorum Republica.

168.

Ælius Dionysius dicit *Lesbium cantorem* in proverbio

Λέσβος ἐνεγκεῖν, ὅθεν καὶ λεσβιάσαι τὸ αἰσχρῶς μολῦναι τὸ στόμα κατὰ Αἴλιον Διονύσιον, ὅς καὶ τὸν τῆς παροιμίας Λέσβιον ᾠδὸν τὸν Τέρπανδρόν φησιν ἢ Εὐαινετίδην ἢ Ἀριστοκλείδην. Καὶ Ἀριστοτέλης δὲ ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ τὸ « μετὰ Λέσβιον ᾠδόν » τὸν Τέρπανδρόν φησι δηλοῦν. Ἐκαλοῦντο δέ, φασί, καὶ ὕστερον εἰς τὴν ἐκείνου τιμὴν πρῶτον μὲν ἀπόγονοι αὐτοῦ, εἶτα εἴ τις ἄλλος παρείη Λέσβιος, εἶθ' οὕτως οἱ λοιποὶ μετὰ Λέσβιον ᾠδόν, τὸν ἁπλῶς δηλαδὴ Λέσβιον. C. Müllerus frustra, ut videtur, pro φασί, post ἐκαλοῦντο, φησί voluit.

Cf. Zenobius Prov. V, 9 : Μετὰ Λέσβιον ᾠδόν· Παροιμία ταττομένη ἐπὶ τῶν τὰ δεύτερα φερομένων ἐξ αἰτίας τοιᾶσδε· Λακεδαιμόνιοι στασιάζοντες μετεπέμψαντο κατὰ χρησμὸν τοῦ θεοῦ ἐκ Λέσβου τὸν μουσικὸν Τέρπανδρον· ἐλθὼν δὲ ἐκεῖνος καὶ τῇ μουσικῇ χρώμενος ἥρμοσεν αὐτῶν τὰς ψυχὰς καὶ τὴν στάσιν ἔπαυσεν. Εἴποτε οὖν μετὰ ταῦτα μουσικοῦ τινὸς ἤκουον οἱ Λακεδαιμόνιοι, ἐπεφώνουν μετὰ Λέσβιον ᾠδόν. Μέμνηται τῆς παροιμίας ταύτης Κρατῖνος ἐν Χείρωσι. Eadem Plutarch. Prov. 110, Suidas s. v. (altera glossa), Apostol. Prov. XI, 27, Prov. Bodleian. 627, Prov. Collect. III ap. Miller, l. l. p. 375, Photius s. v. Μετὰ Λέσβιον ᾠδόν : Παρὰ Κρατίνῳ παροιμία λεγομένη ἐπὶ τῶν τὰ δεύτερα φερομένων· οἱ γὰρ Λακεδαιμόνιοι τοὺς Λεσβίους κιθαρῳδοὺς πρώτους προσεκαλοῦντο. Ἀκαταστατούσης γάρ ποτε τῆς πόλεως αὐτῶν χρησμὸς ἐγένετο τὸν Λέσβιον ᾠδὸν μεταπέμπεσθαι· οἱ δ' ἐξ Ἀντίσσης Τέρπανδρον ἐφ' αἵματι φεύγοντα μεταπεμψάμενοι ἤκουον αὐτοῦ ἐν τοῖς συσσιτίοις καὶ κατεστάλησαν, cf. Suidas gl. pr. Hesychii glossa mutilata est : Μετὰ Λέσβιον ᾠδόν.... Τοὺς ἀπογόνους τοῦ Τερπάνδρου ἀγαθοὺς ἡγουμένους εἶναι κιθαρῳδούς, πρώτους εἰς τὸν ἀγῶνα προσκαλεῖσθαι, [εἶτ'] εἴ τις εἴη Λέσβιος ᾠδός. Quorum omnium partem saltem ex Aristotele fluxisse ostendunt Excerpta Heraclidis p. 7, 5 Schneidew. : Λακεδαιμόνιοι τὸν Λέσβιον ᾠδὸν ἐτίμησαν· τούτου γὰρ ἀκούειν ὁ θεὸς χρησμῳδούμενος ἐκέλευεν.

## (ΛΕΣΒΙΩΝ.)

### 169 (539).

Synag. Lex. Seguer, p. 451, 31 Bekk. : Ἀσιάς· Ἡ κιθάρα, ἀπὸ Ἀσίου τινός· καὶ Ἀσία καὶ Ἀσιώνη, ἡ ἀπὸ Ἀσίας τῆς μητρὸς Προμηθέως. Δοῦριν δὲ Ἀριστοτέλης φησὶ λέγειν ὅτι ἐκλήθη Ἀσιὰς ἀπὸ τῶν χρωμένων Λεσβίων, οἵτινες οἰκοῦσι πρὸς τῇ Ἀσίᾳ. Οἱ δὲ ἀπὸ Τυρρήνου Λυδοῦ εὑρόντος πρώτου τὸ τρίγωνον ὄργανον· οἱ δὲ ἀπὸ Τερπάνδρου.

In his verbis plura sunt quæ dubitationem movent. Quod primum ad Aristotelis nomen attinet non difficilior est emendatio Δοῦρις δὲ Ἀριστοτέλη φησὶ λέγειν, quam, quod mavult Müllerus l. l. fr. 259, Δοῦριν δὲ Ἀριστοκλῆς φησὶ λέγειν, cf. Duridis fragm. 83, in Hist. gr. t. II, p. 488. Possis et Δοῦριν δὲ καὶ Ἀριστοτέλη φασὶ λ., nisi explicationem a Duride datam ab excerptore errore omissam esse statuas. Cf. Etymol. M. p. 513, 28 de cithara : Ὁ δὲ Δοῦρις ἀπὸ Κιθαιρῶνός φησιν, ὅτι Ἀμφίων ἐκεῖσε ἐμουσικεύετο. Hæc vero utcunque se habent, quod hîc Aristoteli tribuitur optime sive in Lesbiorum, seu Mytilenæorum, sive in alia Republica, Lydorum fortasse, narrari potuit. Nec minus apte fortasse de dialogo de Poetis cogitare poterit aliquis. Non enim video, cur si hæc ab Aristotele narrata sunt, non item ab Aristoxeno et ab Heraclide dici potuerint, e quorum libris satis probabiliter desumpta esse contendit Rosius quæ de eadem hac re refert Plutarchus de Musica c. 6 : Ἐποιήθη δὲ καὶ τὸ σχῆμα τῆς κιθάρας πρῶτον κατὰ Κηπίωνα τὸν Τερπάνδρου μαθητήν, ἐκλήθη δὲ Ἀσιὰς διὰ τὸ κεχρῆσθαι τοὺς Λεσβίους αὐτῇ κιθαρῳδοὺς πρὸς τῇ Ἀσίᾳ κατοικοῦντας. Cf. Etymol. M. p. 153, 31 : Ἀσιάδος κρούματα : τῆς κιθάρας· οὕτως Ἀριστοφάνης εἶπε παρῳδῶν τὸ ἐξ Ἐρεχθέως Εὐριπίδου. Ἡ τρίχορδος κιθάρα οὕτω καλεῖται. Εἴρηται δὲ ὅτι ἐν Ἀσίᾳ τῇ πόλει τῆς Λυδίας κειμένῃ ἐν Τμώλῳ πρῶτον εὑρέθη. Καὶ τὰς γοώδεις δὲ ᾠδὰς ὑπὸ Νιόβης καὶ τῶν Λυδῶν γυναικῶν εὑρεθείσας εἰς Ἕλληνας ἀχθῆναι· ὅθεν καὶ Λύδιος ὁ τρόπος μετωνομάσθη, Steph. Byz. s. v. Ἀσία : πόλις Λυδίας παρὰ τῷ Τμώλῳ, ἐν ᾗ [ἡ] τρίχορδος εὑρέθη κιθάρα. Hesych. s. v. Ἀσιάς : Ἡ κιθάρα διὰ τὸ ἐν Ἀσίᾳ εὑρῆσθαι. Schol. Apoll. Rh. II, 277 : Καὶ ἡ κιθάρα Ἀσιὰς λέγεται, ἐπεὶ ἐν Λυδίᾳ πρῶτον εὑρέθη.

---

Terpandrum, sive Eusenetidem, sive Aristoclidem esse. Aristoteles etiam in Lacedæmoniorum Republica dicit proverbium *Post Lesbium cantorem* Terpandrum designare... Appellabantur autem, inquiunt, et postea in illius honorem primum qui ab illo genus ducebant, deinde si quis alius Lesbius adesset, postremo ita reliqui post Lesbium cantorem, Lesbium nude dictum.

(LESBIORUM.)

169.

Asias, cithara, ut ex Duride Aristoteles (*immo ut ex Aristotele Duris*) refert, nomen habet a Lesbiis, qui ea utebantur, prope Asiam habitantibus.

## ΛΕΥΚΑΔΙΩΝ.

169ᵇ (540).

Strabo VII, p. 322 in. : Ἐν δὲ τῇ Λευκαδίων (Πολιτείᾳ Ἀριστοτέλης) καὶ αὐτόχθονά τινα Λέλεγα ὀνομάζει, τούτου δὲ θυγατριδοῦν Τηλεβόαν, τοῦ δὲ παῖδας δύο καὶ εἴκοσι Τηλεβόας, ὧν τινὰς οἰκῆσαι τὴν Λευκάδα.

Cf. supra Ætolorum Rempublicam.

## ΛΟΚΡΩΝ.

170 (541).

Polybii Excerpta c. XII, 5 : Οὐκ ὤκνησα καὶ λέγειν καὶ γράφειν ὅτι τὴν ὑπ' Ἀριστοτέλους παραδιδομένην ἱστορίαν περὶ τῆς ἀποικίας ἀληθινωτέραν εἶναι συμβαίνει τῆς ὑπὸ Τιμαίου λεγομένης. Σύνοιδα γὰρ τοῖς ἀνθρώποις ὁμολογοῦσιν ὅτι παραδόσιμος αὐτοῖς ἐστιν αὕτη περὶ τῆς ἀποικίας ἡ φήμη παρὰ πατέρων, ἣν Ἀριστοτέλης εἴρηκεν, οὐ Τίμαιος. Καὶ τούτων γε τοιαύτας ἔφερον ἀποδείξεις. Πρῶτον μὲν ὅτι πάντα τὰ διὰ προγόνων ἔνδοξα παρ' αὐτοῖς ἀπὸ τῶν γυναικῶν, οὐκ ἀπὸ τῶν ἀνδρῶν εἴη... Ib. c. 6 : Ἐκ τούτων ἄν τις συλλογιζόμενος Ἀριστοτέλει πρόσσχοι μᾶλλον ἢ Τιμαίῳ. Καὶ μὴν τὸ συνεχὲς τούτῳ τελέως ἄτοπον. Τὸ γὰρ ὑπολαμβάνειν, καθάπερ ἐκεῖνος ὑποδείκνυσιν, ὡς οὐκ εἰκὸς ἦν τοὺς οἰκέτας τῶν Λακεδαιμονίοις συμμαχησάντων τὴν τῶν κυρίων εὔνοιαν ἀναφέρειν πρὸς τοὺς ἐκείνων φίλους εὔηθες... διὸ καὶ τὴν ὀνομασίαν (Locrorum scil.) τῇ πόλει τὴν ἀπὸ τῶν γυναικῶν εἰκότως ἐπέθεσαν καὶ τὴν οἰκειότητα τὴν κατὰ τὰς γυναῖκας προσεποιήθησαν, ἔτι δὲ τὰς φιλίας καὶ τὰς συμμαχίας τὰς προγονικὰς τὰς ἀπὸ τῶν γυναικῶν ἀνενεοῦντο... Ἀλλὰ πῶς αὐτὰ μὲν ἐξαπέστελλον οἱ Λακεδαιμόνιοι τοὺς ἀκμάζοντας εἰς τὴν πατρίδα τεκνοποιίας χάριν, τοὺς δὲ Λοκροὺς τὸ παραπλήσιον οὐκ εἴων ποιεῖν; ἕκαστα δὲ ταῦτα οὐ μόνον κατὰ τὸ πιθανὸν ἀλλὰ καὶ κατὰ τὴν ἀλήθειαν μεγάλην ἔχει διαφοράν... Διόπερ οἱ Λοκροὶ μήτε ταῖς ἀραῖς ὄντες ἔνοχοι μήτε τοῖς ὅρκοις οἷς ὤμοσαν οἱ Λακεδαιμόνιοι μὴ πρότερον εἰς τὴν οἰκείαν ἐπανήξειν πρὶν ἢ τὴν Μεσσήνην κατὰ κράτος ἑλεῖν, τῆς μὲν κατὰ τὸ κοινὸν ἐξαποστολῆς εὐκόλως οὐ μετέσχον, κατὰ δὲ μέρος τὰς ἐπανόδους ποιούμενοι καὶ σπανίως, ἔδοσαν ἀναστροφὴν ταῖς γυναιξὶ πρὸς οἰκέτας γενέσθαι συνήθειαν ἢ πρὸς τοὺς ἐξ ἀρχῆς ἄνδρας, ταῖς δὲ παρθένοις καὶ μᾶλλον· ὃ καὶ τῆς ἐξαναστάσεως αἴτιον γέγονεν... c. 8 : Ἢ δεικτέον οὖν τὸν Ἀριστοτέλη κατὰ τὸν ἄρτι λόγον τὰ περὶ Λοκρῶν εἰρηκότα χάριτος ἢ κέρδους ἢ διαφορᾶς ἕνεκεν, ἢ μηδὲ τολμῶντας τοῦτο λέγειν, ὁμολογητέον ἀγνοεῖν καὶ παραπαίειν τοὺς τοιαύτῃ χρωμένους ἀπεχθείᾳ καὶ πικρίᾳ κατὰ τῶν πέλας, οἵᾳ κέχρηται Τίμαιος κατὰ Ἀριστοτέλους. Φησὶ γὰρ αὐτὸν εἶναι θρασύν, εὐχερῆ, προπετῆ, πρὸς δὲ τούτοις κατατετολμηκέναι τῆς τῶν Λοκρῶν πόλεως εἰπόντα τὴν ἀποικίαν αὐτῶν εἶναι δραπετῶν [οἰκετῶν], μοιχῶν, ἀνδραποδιστῶν.

Cf. c. 11 : Μεταβὰς ἐπὶ τοὺς ἐν Ἰταλίᾳ Λοκροὺς πρῶτον μέν φησι (ὁ Τίμαιος scil.) τήν τε πολιτείαν καὶ τὰ λοιπὰ φιλάνθρωπα τοῖς Λοκροῖς ἀμφοτέρους Ἀριστοτέλη καὶ Θεόφραστον κατεψεῦσθαι τῆς πόλεως, et præterea Dionysius Perieg. v. 365 et

---

## LEUCADIORUM.

169 b.

Aristoteles in Leucadiorum Republica quendam indigenam Lelegem ponit, cujus ex filia nepos fuerit Teleboas, atque hujus XXII filii Teleboæ, quorum quosdam Leucadiam inhabitasse.

## LOCRORUM.

170.

Nihil sum cunctatus dicere et scribere, narrationem ab Aristotele proditam memoriæ super deductione ejus coloniæ veriorem esse ea quam adfert Timæus. Compertum namque mihi est ipsos Locrenses fateri eam se a patribus traditam accepisse famam de sua colonia quam habet Aristoteles, non quam Timæus. Cujus sententiæ hæc etiam argumenta adferebant. Primum quidem, quod splendor omnis qui a majoribus repetitur, apud ipsos a feminis, non a viris derivetur... Ex his quisque ratiocinans ad Aristotelis magis quam ad Timæi sententiam accedet. Et quidem aliud hinc proximum est absurdum. Namque opinari, ut Timæus ostendere nititur, consentaneum non fuisse ut famuli Lacedæmoniorum, qui militiam cum his tolerabant, dominorum benevolentiam ad illorum necessarios referrent, id quidem stultum est...

Aut igitur ea quæ Aristoteles de Locris prodidit, gratiæ vel utilitati vel inimicitiæ dedisse monstrandus est : aut, si nemo est, qui id asserere ausit, fateri oportet graviter a vero aberrare eos, qui ejusmodi odio et acerbitate feruntur, cujusmodi Timæus in Aristotelem est ausus.

Ait enim, audacem illum ac levem et temerarium fuisse ac de civitate Locrorum graviter mentitum, quum coloniam eorum ex fugitivis mancipiis, mœchis ac plagiariis collectam esse dixit.

Timæus Tauromenites libro nono Historiarum (quo nomine eum reprehendit Polybius Megalopolita Historiarum duodecimo) Græcis olim non fuisse ait patrium institutum, ut emptitii servi ipsis famularentur : atque ita scribit : Omnino Aristotelem reprehendebant Locri, ac prorsus errasse eum contendebant in Locrorum institutis. Nec enim legibus Locrorum, quemadmodum nec Phocensium, licere aut servos aut ancillas possidere, iis recenti admodum memoria.

Eustathius, ad h. l. Eandem quoque rem e Polybii integro libro tangit Athenæus VI, p. 264, C : Τίμαιος δ' ὁ Ταυρομενίτης ἐν τῇ ἐνάτῃ τῶν Ἱστοριῶν (ἐλέγχει δ' αὐτὸν εἰς τοῦτο Πολύϐιος ὁ Μεγαλοπολίτης διὰ τῆς δωδεκάτης τῶν Ἱστοριῶν, ita p. 272, A)· Οὐκ ἦν, φησί, πάτριον τοῖς Ἕλλησιν ὑπὸ ἀργυρωνήτων τὸ παλαιὸν διακονεῖσθαι, γράφων οὕτως· Καθόλου δὲ ᾐτιῶντο τὸν Ἀριστοτέλη (οἱ Λοκροὶ scil.), διημαρτηκέναι τῶν Λοκρικῶν ἐθῶν· οὐδὲ γὰρ κεκτῆσθαι νόμον εἶναι τοῖς Λοκροῖς, ὁμοίως οὐδὲ Φωκεῦσιν, οὔτε θεραπαίνας, οὔτε οἰκέτας, πλὴν ἐγγὺς τῶν χρόνων.

171 (542).

Schol. Pind. Olymp. XI, 17 : Νέμει γὰρ Ἀτρέκεια πόλιν (Didymus teste schol. ad h. l. probaverat lectionem ἁ τραχεῖα πόλις, cf. *Didymi Fragm.* ed. Schmidt, p. 222 et v. l. Bergkii) Λοκρῶν... Ὁ βούλεται λέγειν ἐστὶ τοιοῦτον· καίπερ τραχεῖα οὖσα εὐνομεῖται. Διὰ τί δέ, φησὶν Ἀριστοτέλης. Ἐπειδὴ γὰρ ἐχρῶντο τῷ θεῷ πῶς ἂν πολλῆς ταραχῆς ἀπαλλαγεῖεν, ἐξέπεσεν αὐτοῖς χρησμός, ἑαυτοῖς νόμους τίθεσθαι, ὅτε καί τις ποιμήν, ὄνομα δ' ἦν Ζάλευκος, πολλοὺς νόμους δυνηθείη τοῖς πολίταις εἰσενεγκεῖν δοκίμους· γνωσθείς τε καὶ ἐρωτηθεὶς πόθεν εὕροι, ἔφησεν ἐνύπνιον αὐτῷ τὴν Ἀθηνᾶν παρίστασθαι· διὸ αὐτός τε ἠλευθέρωται καὶ νομοθέτης κατέστη.

Eadem brevius Clemens Alex. Stromat. I, p. 152 Sylb. : Χαμαιλέων τε ὁ Ἡρακλεώτης ἐν τῷ περὶ Μέθης καὶ Ἀριστοτέλης ἐν τῇ Λοκρῶν Πολιτείᾳ Ζάλευκον τὸν Λοκρὸν παρὰ τῆς Ἀθηνᾶς τοὺς νόμους λαμϐάνειν ἀπομνημονεύουσιν. Cf. Plutarch. De sui laude c. 11.

(ΛΥΔΩΝ.)

172 (543).

Plinius Hist. nat. VII 57 : *Æs conflare et temperare* Aristoteles *Lydum Scythen monstrasse, Theophrastus Delan Phrygem putant. Ærariam fabricam alii Chalybas, alii Cyclopas. Ferrum Hesiodus in Creta eos qui vocati sunt Dactyli Idæi. Argentum invenit Erichthonius Atheniensis, ut alii, Æacus. Auri metalla et conflaturam Cadmus Phœnix ad Pangæum montem, ut alii Thoas,* etc. Ex eodem fonte, Philostephano scilicet περὶ Εὑρημάτων, Clemens Alex. Strom. I, p. 132 Sylb. : Κέλμις τε αὖ καὶ Δαμναμενεὺς οἱ τῶν Ἰδαίων Δάκτυλοι πρῶτοι σίδηρον εὗρον ἐν Κύπρῳ, Δέλας δὲ ἄλλος Ἰδαῖος εὗρε χαλκοῦ κρᾶσιν, ὡς δὲ Ἡσίοδος (male pro Ἀριστοτέλης) Σκύθης... Κάδμος δὲ ὁ Φοίνιξ λιθοτομίαν ἐξεῦρε καὶ μέταλλα χρυσοῦ τὰ περὶ τὸ Πάγγαιον ἐπενόησεν ὄρος.

173 (544).

Stephanus Byzant. s. v. Ἀδραμύτειον : Πόλις τῆς κατὰ Κάικον Μυσίας... Κέκληται ἀπὸ Ἀδραμύτου κτίστου, παιδὸς μὲν Ἀλυάττου, Κροίσου δὲ ἀδελφοῦ, ὡς Ἀριστοτέλης ἐν Πολιτείαις καὶ ἄλλοι. Τινὲς δὲ ἀπὸ Ἕρμωνος τοῦ Λυδῶν βασιλέως· τὸν γὰρ Ἕρμωνα Λυδοὶ Ἄδραμυν καλοῦσι Φρυγιστί. Ultima Hesychius s. v. Ἄδραμυς (cod. Ἀδραμών) : Ὁ Ἕρμων παρὰ Λυδοῖς. Καὶ Ἀδραμύτιον Ἕρμωνος. Cf. Joann. Lyd. de Mensibus IV, 18 : Τὸ Ἀδραμύττειον, πόλιν Ἀσίας, ὁ Τραϊανὸς ἔκτισεν ἀπὸ Ἀδραμύττου, τοῦ ἀδελφοῦ Κροίσου· ὄνομα δὲ αὐτῇ τὸ πάλαι Ὑποπλάκιοι Θῆϐαι, Strabo XIII, p. 613, Athen. XII, p. 515, C. De nominis Ἀδραμύτειον scriptura hæc annotat Stephan. Byz. l. l. : Ἡ γραφὴ διχῶς, διὰ τοῦ τ καὶ διὰ τοῦ δ, καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ι, καὶ δι' ἑνὸς τ καὶ διὰ δύο· ἀλλὰ καὶ δι' ἑνὸς τ, ὅταν ἔχῃ δίφθογγον, καὶ διὰ δύο τῷ ι μόνως.

ΛΥΚΙΩΝ.

Vide supra ad Achæorum Rempublicam fragm. 105[b].

---

171.

Locrorum civitas etsi aspera optime administrabatur. Causam rei tradit Aristoteles. Etenim quum deum interrogassent, quomodo magnis turbis liberari possent, editum iis oraculum est jubens ut ipsi sibi leges ferrent; quum et pastor quidam, Zaleucus nomine, multas leges posset civibus ferre optimasque. Cognitus vero atque interrogatus unde inveniret leges, dixit per quietem ipsi Minervam astare. Quare libertatem ei dederunt et legislatorem constituerunt.

Chamæleon Heracleota in libro de Ebrietate et Aristoteles in Locrorum Republica Zaleucum Locrum a Minerva leges suas accepisse memorant.

(LYDORUM.)

173.

Adramytium, urbs Mysiæ, quæ Caico proxima; nomem habet ab Adramyto conditore, Alyattæ filio, fratre Crœsi, ut ait Aristoteles in Rebuspublicis et alii; nonnulli vero nominatam dicunt ab Hermone Lydorum rege; scilicet Hermonem Lydi Adramyn vocant lingua Phrygia.

## ΜΑΣΣΑΛΙΩΤΩΝ.

174 (545).

Athen. XIII, p. 576, A : Τὸ ὅμοιον ἱστορεῖ γενέσθαι καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν Πολιτείᾳ γράφων οὕτως· « Φωκαεῖς οἱ ἐν Ἰωνίᾳ ἐμπορίᾳ χρώμενοι ἔκτισαν Μασσαλίαν. Εὔξενος δ' ὁ Φωκαεὺς Νάνῳ τῷ βασιλεῖ, τοῦτο δ' ἦν αὐτῷ ὄνομα, ἦν ξένος. Οὗτος ὁ Νάνος ἐπιτελῶν γάμους τῆς θυγατρὸς κατὰ τύχην παραγενόμενον τὸν Εὔξενον παρακέκληκεν ἐπὶ τὴν θοίνην. Ὁ δὲ γάμος ἐγίγνετο τόνδε τὸν τρόπον· ἔδει μετὰ τὸ δεῖπνον εἰσελθοῦσαν τὴν παῖδα φιάλην κεκερασμένην ᾧ βούλοιτο δοῦναι τῶν παρόντων μνηστήρων, ᾧ δὲ δοίη τοῦτον εἶναι νυμφίον. Ἡ δὲ παῖς εἰσελθοῦσα δίδωσιν εἴτε ἀπὸ τύχης εἴτε καὶ δι' ἄλλην τινὰ αἰτίαν τῷ Εὐξένῳ· ὄνομα δ' ἦν τῇ παιδὶ Πέττα. Τούτου δὲ συμπεσόντος καὶ τοῦ πατρὸς ἀξιοῦντος, ὡς κατὰ θεὸν γενομένης τῆς δόσεως, ἔχειν αὐτήν, ἔλαβεν ὁ Εὔξενος γυναῖκα καὶ συνῴκει μεταθέμενος τοὔνομα Ἀριστοξένην. Καὶ ἔστι γένος ἐν Μασσαλίᾳ ἀπὸ τῆς ἀνθρώπου μέχρι νῦν Πρωτιάδαι καλούμενον. Πρῶτος γὰρ ἐγένετο υἱὸς Εὐξένου καὶ τῆς Ἀριστοξένης. »

Apud Plutarchum in Vita Solonis c. 2, hic Protus conditor urbis Massiliæ fuisse dicitur, apud Justinum vero, qui rem paulo aliter narrat XLIII, 3 Protis appellatur.

175 (546).

Harpocration s. v. Μασσαλία : Ἰσοκράτης μέν φησιν ἐν Ἀρχιδάμῳ (§ 84) ὡς Φωκαεῖς φυγόντες τὴν τοῦ μεγάλου βασιλέως δεσποτείαν εἰς Μασσαλίαν ἀπῴκησαν· ὅτι δὲ πρὸ τούτων τῶν χρόνων ἤδη ὑπὸ Φωκαέων ᾤκιστο ἡ Μασσαλία καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν Πολιτείᾳ δηλοῖ.

Eadem Photius et Suidas qui tamen post ἀπῴκησαν tantum addunt : Μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ Ἀριστοτέλης.

## ΜΕΓΑΡΕΩΝ.

176 (547).

Strabo VII, p. 322 : Ἐν δὲ τῇ Αἰτωλῶν (Πολιτείᾳ Ἀριστοτέλης) τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ, κατασχεῖν δὲ καὶ τὴν Βοιωτίαν αὐτούς φησιν· ὁμοίως δὲ καὶ ἐν τῇ Ὀπουντίων καὶ Μεγαρέων.

Vide supra Strabonem de Republica Ætolorum.

## ΜΕΘΩΝΑΙΩΝ.

176 a (548).

Proverb. Coll. III, apud E. Miller, *Mélanges de littérature grecque*, Paris 1868, p. 369 : Ἀμουσότερος Λειβηθρίων. Λειβήθριοι ἔθνος ἐστὶ Πιερικόν, οὗ καὶ Ἀριστοτέλης μέμνηται ἐν τῇ Μεθωναίων Πολιτείᾳ. Λέγονται δὲ ἀμουσότατοι εἶναι οἱ Λειβήθριοι ἐπειδὴ παρ' αὐτοῖς ἐγένετο ὁ τοῦ Ὀρφέως θάνατος.

In cod. Λειβήθριον scriptum est. Zenob. I, 79 recte Λειβήθριοι. Pro Πιερικόν, ut recte legitur in Prov. Coll. IV, l.l. p. 377, codex a manu posteriori Περσικόν, cf. Bast, *Lettre critique*, p. 224 s. et quæ habet Boissonad. ad Aristænet. Ep. I, 27, p. 592. Methonæorum Rempublicam male

---

MASSILIENSIUM.

174.

Similem historiam narrat Aristoteles in Massiliensium Republica ita scribens : Phocæenses Ioniæ, mercaturam facientes, Massiliam condidere. Euxenus autem Phocæensis hospitio utebatur Nani ; nomen id regi erat. Hic Nanus quum nuptias celebraret filiæ suæ, Euxenum, qui tunc forte Massiliam advenerat, ad epulum vocavit. Agebantur autem nuptiæ tali modo : post cœnam oportebat virginem in cœnaculum intrare, et vini pateram cui vellet ex præsentibus procis tradere; cui autem tradidisset, is sponsus erat. Ingressa igitur virgo, pateram sive casu, sive alia de causa tradidit Euxeno : nomen virgini Petta erat. Ita quum accidisset, pater, ratus volente deo huic pateram esse traditam, æquum censuit ut Euxeno collocaretur filia : isque eam duxit uxorem et mutato nomine Aristoxenam appellavit. Et superest ad hunc diem Massiliæ familia ab hac muliere originem ducens, qui Protiadæ nominantur. Fuit enim Protus filius Euxeni hujus et Aristoxenæ.

175.

Isocrates in Archidamo dicit Phocæenses Persarum regis dominationem fugientes Massiliam emigrasse. Ceterum jam ante hæc tempora Massiliam a Phocæensibus habitatam esse Aristoteles quoque in Massiliensium Republica tradit.

MEGARENSIUM.

176.

In Ætolorum Republica Aristoteles qui nunc Locri dicuntur Leleges nominat; eosdem etiam Bœotiam tenuisse ait. Similiter in Opuntiorum Republica et Megarensium.

METHONÆORUM.

176 a.

*Libethriis illepidior*. Libethrii natio Pierica, cujus meminit etiam Aristoteles in Methonæorum Republica. Illepidissimi dicuntur Libethrii fuisse quia apud illos occisus est Orpheus.

pro Atheniensium nominatam apud Athenæum VI, 235, E, supra vidimus fragm. 93.

### ΜΗΛΙΕΩΝ.

177 (549).

Suidas s. v. Τῶν φιλτάτων τὰ φίλτατα : Φησὶν Ἀριστοτέλης ἐν τῇ Μηλιέων Πολιτείᾳ τοὺς παῖδας γυμνοὺς ἐκφέρειν μέχρι ἐτῶν ις' καὶ καταφιλεῖν αὐτοὺς ἐν τοῖς συμποσίοις.

Hæc emendanda et supplenda sunt e Proverb. in Appendice Vaticana Centur. V, 3 : Τῶν φιλτάτων τὰ φίλτατα. Μηλίοις ἀνεῖλεν ὁ θεὸς φιλεῖν τῶν φιλτάτων τὰ φίλτατα· μέχρις οὖν ἐτῶν δέκα ἓξ γυμνοὺς περιέφερον τοὺς παῖδας καὶ κατεφίλουν ἐν Ὀλυμπίᾳ.

178 (550).

Photius s. v. Τὸ Μηλιακὸν πλοῖον : Τοῦτο ἐπὶ τῶν ἄγαν ῥεόντων πλοίων ἀπὸ ἱστορίας τινὸς εἴρηται·, φησὶ γὰρ Ἀριστοτέλης Ἱππότην εἰς ἀποικίαν στελλόμενον τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν καταράσασθαι· ἐπειδὴ γὰρ προφασιζόμενοι οἱ μὲν τὰς γυναῖκας αὐτοῖς ἀρρωστεῖν, οἱ δὲ τὰ πλοῖα ῥεῖν κατέμενον, κατηράσατο μήτε πλοῖα στεγανὰ αὐτοῖς γενέσθαι ποτὲ καὶ ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι ἀεί.

Eadem Suidas s. v. et brevius omissa Aristotelis mentione idem s. v. Μηλιακόν, Apostolius Prov. XIX, 89. Prov. Vat. Append. IV, 4. Aliam explicationem proverbii dat Diogenian. Prov. VIII, 31 : Τὸ Μηλιακὸν πλοῖον : Ἐπὶ τῶν ἄγαν ῥεόντων πλοίων. Κατηράσαντο γὰρ Λακεδαιμόνιοι μηδέποτε στεγνὰ τὰ πλοῖα Μηλιέων γενέσθαι· παραβάται γάρ. De Hippote, Aletæ Corinthi conditoris patre, C. Müllerus qui totam hanc historiam illustravit ad Aristot. fragm. 143, conferri jubet Apollodor. II, 8, 3, Conon. 26, Pausan. II, 4, 3, III, 13, 3, Schol. Theocrit. V, 83, O. Müller, *die Dorer*, t. I, p. 84, 124.

### (ΜΗΛΙΩΝ.)

179 (551).

Plinius Hist. nat. IV, s. 23 : *Melos cum oppido quam Aristides Byblida*, ARISTOTELES *Zephyrium*, *Callimachus Mimallida*, *Heraclides Siphim et Acyton*. *Hæc insularum rotundissima est.* Stephan. Byz. s. v. Μῆλος : Νῆσος μία τῶν Κυκλάδων, ὁμώνυμον ἔχουσα πόλιν. Φοίνικες οὖν οἰκισταὶ πρότερον, ὅθεν καὶ Βυβλὶς ἐκλήθη ἀπὸ τῶν Βυβλίων Φοινίκων· ἀλλὰ καὶ Ζεφυρία.

### (ΜΙΛΗΣΙΩΝ.)

180 (552).

Parthenius Erotic. c. 14. Περὶ Ἀνθέως. Ἱστορεῖ Ἀριστοτέλης καὶ οἱ τὰ Μιλησιακά. — Ἐκ δὲ Ἁλικαρνασσοῦ παῖς Ἀνθεὺς ἐκ βασιλείου γένους ὡμήρευσε παρὰ Φοβίῳ ἑνὶ τῶν Νηλειδῶν τότε κρατοῦντι Μιλησίων. Τούτου Κλεόβοια, ἥν τινες Φιλαίχμην ἐκάλεσαν, τοῦ Φοβίου γυνὴ ἐρασθεῖσα πολλὰ ἐμηχανᾶτο εἰς τὸ προσαγαγέσθαι τὸν παῖδα. Ὡς δὲ ἐκεῖνος ἀπεωθεῖτο ποτὲ μὲν φάσκων ὀρρωδεῖν μὴ κατάδηλος γένοιτο, ποτὲ δὲ Δία ξένιον καὶ κοινὴν τράπεζαν προϊσχόμενος, ἡ Κλεόβοια κακῶς φερομένη ἐν νῷ εἶχε τίσασθαι αὐτὸν ἀνηλεῆ τε καὶ ὑπέραυχον ἀποκαλουμένη. Ἔνθα δὴ χρόνου προϊόντος τοῦ μὲν ἔρωτος ἀπηλλάχθαι προσεποιήθη, πέρδικα δὲ τιθασὸν εἰς βαθὺ φρέαρ κατασοβήσασα ἐδεῖτο τοῦ Ἀνθέως ὅπως κατελθὼν ἀνέλοιτο αὐτόν· τοῦ δὲ ἑτοίμως ὑπακούσαντος διὰ τὸ μηδὲν ὑφορᾶσθαι, ἡ Κλεόβοια ἐπισείει στιβαρὸν αὐτῷ πέτρον. Καὶ ὁ μὲν παραχρῆμα ἐτεθνήκει, ἡ δ' ἄρ' ἐννοηθεῖσα ὡς δεινὸν ἔργον δεδράκοι, καὶ ἄλλως δὲ καομένη σφοδρῷ ἔρωτι τοῦ παιδός,

---

### MALIENSIUM.

177.

*Carissimorum carissima.* Aristoteles dicit in Maliensium Republica Malienses liberos usque ad ætatis annum decimum sextum nudos circumferre et deosculari in conviviis.

Malienses deus jussit diligere carissima carissimorum. Liberos igitur usque ad annum sextum decimum ætatis nudos circumferebant et deosculabantur Olympiæ.

178.

*Maliacum navigium* dicitur de vetusto et rimarum pleno navigio ab historia quadam. Aristoteles enim refert Hippoten, quum coloniam deducturus esset, imprecatum esse iis qui secum navigare recusassent. Nam quum alii uxorum infirmitatem, alii rimas navigiorum prætexentes domi manerent, imprecatus iis est, ut nunquam firmis uterentur navigiis, feminarumque imperio semper subjecti essent.

### (MILESIORUM.)

180.

De Antheo. Narrat Aristoteles et scriptores rerum Milesiacarum. — Antheus regii generis ex Halicarnasso adolescens Phobio Nelidæ tunc Milesiis imperanti obses datus fuit. In hujus amorem Cleobœa, quam quidam Philæchmem vocarunt, Phobii uxor illata, multa sane machinata est, quibus adolescentem illiceret. Quum autem ille eam aversaretur aliquando quidem timorem prætexuit, ne videlicet manifestum id fieret, aliquando autem hospitii jus et communem mensam causatus est, tamdiu ut Cleobœa ægre rem ferens, in animo haberet ulcisci eum, immisericordem ipsum et superbum vo-

ἀναρτᾷ ἑαυτήν. Φόβιος μέντοι διὰ ταύτην τὴν αἰτίαν ὡς ἐναγὴς παρεχώρησε Φρυγίῳ τῆς ἀρχῆς· ἔφασαν δέ τινες οὐ πέρδικα, σκεῦος δὲ χρυσοῦν εἰς τὸ φρέαρ βεβλῆσθαι, ὡς καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς μέμνηται ἐν τοῖσδε ἐν Ἀπόλλωνι... Cf. Anthol. gr. ed Jacobs. t. VII, p. 239 sqq.

181 (553).

Athenæus XII, p. 523, E : Μιλήσιοι δὲ ἕως μὲν οὐκ ἐτρύφων, ἐνίκων Σκύθας, ὥς φησιν Ἔφορος, καὶ τάς τε ἐφ' Ἑλλησπόντῳ πόλεις ἔκτισαν καὶ τὸν Εὔξεινον πόντον κατῴκισαν πόλεσι λαμπραῖς, καὶ πάντες ἐπὶ τὴν Μίλητον ἔθεον· ὡς δ' ὑπήχθησαν ἡδονῇ καὶ τρυφῇ κατερρύη τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀριστοτέλης, καὶ παροιμία τις ἐγεννήθη ἐπ' αὐτῶν· « Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. »

Ex Athenæo Eustath. ad Il. ψ, 444, p. 1358, 5 Rom. Versus a Zenobio, Prov. V, 80 Anacreonti tribuitur, fr. 86 apud Bergkium. Cf. præterea Suidas s. v., Apostol. Prov. XIII, 85, Diogenian. V, 3, Hesychius, Photius, Philostrat. Vit. Sophist. XXII, 4.

ΝΑΞΙΩΝ.

182 (554).

Athenæus VIII, p. 348, A : Ἀριστοτέλης ἐν τῇ Ναξίων Πολιτείᾳ περὶ τῆς παροιμίας (Οὐδεὶς κακὸς μέγας ἰχθύς scil.) οὕτω γράφει· « Τῶν παρὰ Ναξίοις εὐπόρων οἱ μὲν πολλοὶ τὸ ἄστυ ᾤκουν, οἱ δὲ ἄλλοι διεσπαρμένοι κατὰ κώμας. Ἐν οὖν δή τινι τῶν κωμῶν, ᾗ ὄνομα ἦν Ληστάδαι, Τελεσταγόρας ᾤκει πλούσιός τε σφόδρα καὶ εὐδοκιμῶν καὶ τιμώμενος παρὰ τῷ δήμῳ τοῖς τ' ἄλλοις ἅπασι καὶ τοῖς καθ' ἡμέραν πεμπομένοις. Καὶ ὅτε καταβάντες ἐκ τῆς πόλεως δυσωνοῖντό τι τῶν πωλουμένων, ἔθος ἦν τοῖς πωλοῦσι λέγειν ὅτι μᾶλλον ἂν προέλοιντο Τελεσταγόρᾳ δοῦναι ἢ τοσούτου ἀναδόσθαι. Νεανίσκοι οὖν τινὲς ὠνούμενοι μέγαν ἰχθύν, εἰπόντος τοῦ ἁλιέως τὰ αὐτά, λυπηθέντες τῷ πολλάκις ἀκούειν, ὑποπιόντες ἐκώμασαν πρὸς αὐτόν. Δεξαμένου δὲ τοῦ Τελεσταγόρου φιλοφρόνως αὐτούς, οἱ νεανίσκοι αὐτόν τε ὕβρισαν καὶ δύο θυγατέρας αὐτοῦ ἐπιγάμους. Ἐφ' οἷς ἀγανακτήσαντες οἱ Νάξιοι καὶ τὰ ὅπλα ἀναλαβόντες ἐπῆλθον τοῖς νεανίσκοις· καὶ μεγίστη τότε στάσις ἐγένετο, προστατοῦντος τῶν Ναξίων Λυγδάμιδος, ὃς ἀπὸ ταύτης τῆς στρατηγίας τύραννος ἀνεφάνη τῆς πατρίδος.

183 (555).

Plutarch. De mulier. virtutibus c. 17 : Ναξίοις καὶ Μιλησίοις συνέστη πόλεμος διὰ τὴν Ὑψικρέοντος τοῦ Μιλησίου γυναῖκα, Νέαιραν. Αὕτη γὰρ ἠράσθη Προμέδοντος Ναξίου, καὶ συνέπλευσεν· ὃς ἦν μὲν ξένος τοῦ Ὑψικρέοντος, ἐρασθείσῃ δὲ τῇ Νεαίρᾳ συνῆλθε καὶ τὸν ἄνδρα φοβουμένην ἀπαγαγὼν εἰς Νάξον ἱκέτιν τῆς Ἑστίας ἐκάθισεν. Τῶν δὲ Ναξίων οὐκ ἐκδιδόντων, χάριν τοῦ Προμέδοντος, ἄλλως δὲ ποιουμένων πρόφασιν τὴν ἱκετείαν, ὁ πόλεμος συνέστη. Τοῖς δὲ Μιλησίοις ἄλλοι τε πολλοί, καὶ προθυμότατα τῶν Ἰώνων Ἐρυθραῖοι συνεμάχουν, καὶ μῆκος ἔσχε καὶ συμφορὰς ἤνεγκε μεγάλας ὁ πόλεμος· εἶτ' ἐπαύσατο δι' ἀρετὴν γυναικός, ὡς συνέστη διὰ μοχθηρίαν. Διόγνη-

---

cans. Quare temporis progressu amorem in se exstinctum simulabat, ac perdicem cicurum in profundum puteum demittens, Antheum rogavit ut descenderet atque extraheret illam. Ille itaque quum nihil mali suspicatus prompte obediret, Cleobœa super eum dejecit ingens saxum, unde ille statim mortuus est. Ipsa vero animo volvens quam grave flagitium perpetrasset, atque alias etiam vehementi adolescentis amore flagrans, se ipsam suspendit. Porro Phobius ob eandem causam tanquam scelestus Phrygio regnum cessit. Dixerunt autem nonnulli non perdicem, sed vasculum aureum in puteum projectum fuisse, ut Alexander quoque Ætolus.

181.

Milesii postquam voluptatibus et luxuriæ succubuerunt, enervatum concidit civitatis robur, ut ait Aristoteles, et enatum in eos est proverbium : *Fortes olim fuerunt Milesii.*

NAXIORUM.

182.

Aristoteles in Naxiorum Republica, ubi proverbii *Nullus piscis magnus est malus* meminit, hæc scribit : Eorum qui apud Naxios copia rei familiaris abundabant alii habitabant in urbe, alii per vicos sparsim vitam agebant. In uno igitur ex vicis, cui Lestadæ nomen, habitabat Telestagoras, vir prædives et optimæ apud eos famæ; quem honorabat populus cum aliis omnibus rebus, tum missis quotidie muneribus. Et si quando oppidani, in vicos digressi, emere aliquid rerum venalium vellent, sed minoris licitarentur quam par esset, solebant venditores respondere, malle se Telestagoræ dare quam eo pretio addicere. Aliquando igitur juvenes nonnulli magnum piscem mercantes, quum idem illud respondisset iis piscator, ægre ferentes sæpius illud verbum a se audiri, jam bene adpoti ad eum perrexerunt comissabundi. Quos quum benigne accepisset Telestagoras, illi et ipsum et duas nubiles filias contumelia affecerunt. Quibus indignantes Naxii, arreptis armis impetum in juvenes fecere : et maxima tum exorta est seditio, in qua præerat Naxiis Lygdamis, qui ab hoc imperio tyrannus patriæ evasit.

183.

Propter Neæram Hypsicreontis Milesii uxorem bellum inter Naxios et Milesios ortum fuit. Ea enim quum

τος γὰρ ὁ τῶν Ἐρυθραίων στρατηγός, ἔχων καὶ πεπιστευμένος ἔρυμα κατὰ τῆς Ναξίων πόλεως εὖ πεφυκὸς καὶ κατεσκευασμένον, ἠλάσατο λείαν τῶν Ναξίων πολλήν, καὶ γυναῖκας ἐλευθέρους καὶ παρθένους ἔλαβεν. Ὧν μιᾶς, Πολυκρίτης, ἐρασθεὶς, εἶχεν αὐτὴν οὐχ ὡς αἰχμάλωτον, ἀλλ' ἐν τάξει γαμετῆς γυναικός. Ἑορτῆς δὲ τοῖς Μιλησίοις καθηκούσης ἐν τῇ στρατιᾷ, καὶ πρὸς πόσιν ἁπάντων καὶ συνουσίας τραπομένων, ἠρώτησε τὸν Διόγνητον ἡ Πολυκρίτη, μή τι κωλύοι πεμμάτων μερίδας ἀποπέμψαι τοῖς ἀδελφοῖς αὐτῆς. Ἐπιτρέψαντος δ' ἐκείνου καὶ κελεύσαντος ἐνέβαλε μολίβδινον γραμματίδιον εἰς πλακοῦντα, κελεύσασα φράσαι τὸν κομίζοντα τοῖς ἀδελφοῖς, ὅπως αὐτοὶ μόνοι καταναλώσωσιν ἃ ἔπεμψεν. Οἱ δ' ἐντυχόντες τῷ μολίβδῳ, καὶ τὰ γράμματα τῆς Πολυκρίτης ἀναγνόντες, κελευούσης νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις, ὡς ὑπὸ μέθης διὰ τὴν ἑορτὴν ἐξημελημένων πάντων, προσήγγειλαν τοῖς στρατηγοῖς, καὶ παρώρμησαν ἐξελθεῖν μετ' αὐτῶν. Ἁλόντος δὲ τοῦ χωρίου, καὶ πολλῶν διαφθαρέντων, ἐξητήσατο τὸν Διόγνητον ἡ Πολυκρίτη παρὰ τῶν πολιτῶν, καὶ διέσωσεν. Αὐτὴ δὲ πρὸς ταῖς πύλαις γενομένη τοὺς πολίτας ἀπαντῶντας αὐτῇ, μετὰ χαρᾶς καὶ στεφάνων ὑποδεχομένους καὶ θαυμάζοντας, οὐκ ἤνεγκε τὸ μέγεθος τῆς χαρᾶς, ἀλλ' ἀπέθανεν αὐτοῦ πεσοῦσα περὶ τὴν πύλην· ὅπου τέθαπται, καὶ καλεῖται βασκάνου τάφος, ὡς βασκάνῳ τινὶ τύχῃ τὴν Πολυκρίτην φθονηθεῖσαν ἀπολαῦσαι τῶν τιμῶν. Οὕτω μὲν οἱ Ναξίων συγγραφεῖς ἱστοροῦσιν· ὁ δ' Ἀριστοτέλης φησίν, οὐδ' ἁλούσης τῆς Πολυκρίτης, ἄλλως δέ πως ἰδόντα τὸν Διόγνητον ἐρασθῆναι, καὶ πάντα διδόναι καὶ ποιεῖν ἕτοιμον εἶναι· τὴν δὲ ὁμολογεῖν ἀφίξεσθαι πρὸς αὐτόν, ἑνὸς μόνου τυχοῦσαν, περὶ οὗ τὸν Διόγνητον (ὥς φησιν ὁ φιλόσοφος) ὅρκον ᾔτησεν· ἐπεὶ δ' ὤμοσεν, ἠξίου τὸ Δήλιον αὐτῇ δοθῆναι (Δήλιον γὰρ ἐκαλεῖτο τὸ χωρίον), ἄλλως δ' οὐκ ἂν ἔφη συνελθεῖν. Ὁ δὲ καὶ διὰ τὴν ἐπιθυμίαν καὶ διὰ τὸν ὅρκον ἐξέστη, καὶ παρέδωκε τῇ Πολυκρίτῃ τὸν τόπον, ἐκείνη δὲ τοῖς πολίταις. Ἐκ δὲ τούτου πάλιν εἰς ἴσον καταστάντες, ἐφ' οἷς ἠβούλοντο, πρὸς τοὺς Μιλησίους διελύθησαν.

Eadem narratio, contractior apud Polyænum VIII, 36, nonnullis vero ornatior apud Parthenium ex Andrisci libro primo Ναξιακῶν legitur. Ubi et illud additur Theophrastum quoque ἐν τῷ δ' Πρὸς τοὺς καιροὺς, ejus meminisse. De Polycritæ subita morte refert quoque A. Gellius Noct. Att. III, 15 : *Cognito repente insperato gaudio exspirasse animam refert* Aristoteles *philosophus, Polycritam nobilem feminam Naxo insula.*

## ΟΠΟΥΝΤΙΩΝ.

### 184 (556).

Strabo VII, p. 321 : Ἐν δὲ τῇ Αἰτωλῶν (Πολιτείᾳ Ἀριστοτέλης) τοὺς νῦν Λοκροὺς Λέλεγας

amaret Promedontem Naxium mariti sui hospitem, corpus cum eo miscuit, veritaque iram mariti, cum eo in Naxum navigavit. Eam Promedon supplicem Vestæ collocavit. Naxiis autem mulierem sub præscriptione supplicationis in gratiam Promedontis non dedentibus, bellum quod dixi, conflatum est. Milesiis cum alii multi, tum Ionum studiosissime Erythræi auxilia tulelunt, bellumque hoc tractum magnis calamitatibus, tandem virtute mulieris finitum est, sicuti cœperat mulieris ob pravitatem. Diognetus Erythræorum dux munitionem quandam sibi commissam tenebat, opportune admodum contra Naxiorum urbem sitam; itaque et magnam Naxiis prædam abstulit, et mulieres ac virgines liberas. Harum unam, nomine Polycritam, amore captus, secum non ut captivam, sed uxoris loco habuit. Evenit ut in castris Milesiorum dies ageretur festus : ibi quum omnes poculis essent ac conviviis dediti, rogavit Diognetum Polycrita, ut liceret sibi fratribus partes placentarum mittere. Quumque is permitteret ac juberet, plumbeam tabellam placentæ inseruit, mandato ei qui eam fratribus afferebat, ut solos vesci juberet fratres iis quæ mittebat. Hi quum offendissent tabellam et legissent quæ scripserat Polycrita (hortabatur autem ut noctu hostes adorirentur, ob ebrietatem festo die contractam plane socordia dissolutos), rem ducibus Naxiorum significaverunt, et permoverunt ut secum exirent rei gerendæ causa. Occupato a Naxiis castello, multisque hostium interfectis, Diogneto precibus Polycrita a civibus impetravit salutem. Ipsa autem civibus ad portam occurrentibus magno cum gaudio, collaudantibusque et serta ferentibus, magnitudine lætitiæ exanimata, in ipsa porta concidit mortua : atque ibi sepulta est, et monimentum ejus vocatur *livoris tumulus* : quod invidia quadam fortunæ fascinata Polycrita putaretur meritis honoribus non potuisse frui. Hæc Naxiorum historicorum est narratio. Aristoteles captam Polycritam fuisse non dicit, sed conspectam a Diogneto, sui eum amore irretivisse, ipsumque promisisse omnia se, ut ea potiretur, dare ac facere paratum esse : Polycritam se ad ipsum venturam pollicitam, si unicum quippiam ab eo obtineret, fuisse : quumque id jurejurando interposito Diognetus confirmasset, tradi sibi Delium postulasse (id enim castello nomen erat), aliter se morem gesturam ipsi negasse : victum amore Diognetum, et jurisjurandi permotum religione, Polycritæ castellum, hocque eam civibus tradidisse. Ita Naxios rursus Milesiis pares viribus factos, pacem in suas leges confecisse.

## OPUNTIORUM.

### 184.

In Ætolorum Republica Aristoteles qui nunc Locri dicuntur Leleges nominat; eosdem etiam Bœotiam te-

καλεῖ, κατασχεῖν δε καὶ τὴν Βοιωτίαν αὐτούς φησιν· ὁμοίως δὲ καὶ ἐν τῇ Ὀπουντίων καὶ Μεγαρέων.

Cf. supra Ætolorum Respublica et Stephan. Byz. s. v. Φύσκος, cujus verba ad sequens fragmentum dedimus.

185 (557).

Schol. Pindari Olymp, IX, 86 : Ἀπὸ γᾶς Ἐπειῶν : Ἐπειῶν τῶν Ἠλείων... Ὀποῦντος ἦν θυγάτηρ Ἠλείων βασιλέως, ἣν Ἀριστοτέλης Καμβύσην καλεῖ.

Ex Aristotele, ut videtur, Plutarch. Quæst. gr. c. 15 : Τίς ἡ ξυλίνη κύων παρὰ Λοκροῖς; Φύσκου τοῦ Ἀμφικτύονος υἱὸς ἦν Λοκρός, ἐκ δὲ τούτου καὶ Καβύης Ὀποῦς (ita pro Λοκρός legendum vidit Bournot. l. l. p. 285). Πρὸς ὃν ὁ πατὴρ διενεχθεὶς καὶ συχνοὺς τῶν πολιτῶν ἀναλαβὼν περὶ ἀποικίας ἐμαντεύετο· τοῦ δὲ θεοῦ φήσαντος κτίζειν πόλιν, ὅπου περ ἂν τύχῃ δηχθεὶς ὑπὸ κυνὸς ξυλίνης, ὑπερβαίνων εἰς τὴν ἑτέραν θάλασσαν ἐπάτησε κυνόσβατον· ἐνοχληθεὶς δὲ τῇ πληγῇ διέτριψεν ἡμέρας αὐτόθι πλείονας, ἐν αἷς καταμαθὼν τὸ χωρίον ἔκτισε πόλεις Φυσκεῖς καὶ Ὑάνθειαν (Ὑαντίαν Steph. Byz. s. v. Ὕαντες) καὶ τὰς ἄλλας ὅσας οἱ κληθέντες Ὀζόλαι Λοκροὶ κατῴκησαν. Cf. Eustath. ad Iliad. p. 277, 17, Steph. Byz. s. v. Φύσκος, apud quem verba, Φύσκος δὲ ἀφ' οὗ οἱ Λέλεγες οἱ νῦν Λοκροί, Aristotelis esse, satis probabiliter suspicatur Rosius, collato Strabone VII, p. 321 : Ἀριστοτέλης... τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ. Athen. II, p. 70, C, hæc habet: Δίδυμος δ' ὁ γραμματικὸς ἐξηγούμενος παρὰ τῷ Σοφοκλεῖ τὸ « κύναρος ἄκανθα », μήποτε φησὶ τὴν κυνόσβατον λέγει διὰ τὸ ἀκανθῶδες καὶ τραχὺ εἶναι τὸ φυτόν· καὶ γὰρ ἡ Πυθία ξυλίνην κύνα αὐτὸ εἶπε καὶ ὁ Λοκρὸς χρησμὸν λαβών, ἐκεῖ πόλιν οἰκίζειν, ὅπου ἂν ὑπὸ ξυλίνης κυνὸς δηχθῇ, καταμυχθεὶς τὴν κνήμην ὑπὸ κυνοσβάτου, ἔκτισε τὴν πόλιν. Cf. Hesychius s. v. Κύναρος.

186 (558).

Harpocration : Ἄμφισσα : Πόλις τῆς Λοκρίδος· Ἀριστοτέλης ἐν τῇ Ὀπουντίων Πολιτείᾳ οὕτω λέγει· » Ἀνδραίμων δὲ ἦν οἰκιστής, Ἄμφισσαν δ' ὠνόμασαν διὰ τὸ περιέχεσθαι τὸν τόπον ὄρεσιν. »

Eadem etymologia apud Suidam s. v. et Zonaram p. 151. Aliter Pausanias X, 38.

187 (559).

Hesychius : Ἄσπετος : ὁ Ἀχιλλεὺς ἐν Ἠπείρῳ ὥς φησιν Ἀριστοτέλης ἐν Ὀπουντίων Πολιτείᾳ.

Cf. Plutarch. Vita Pyrrhi, c. 1 : Ἀχιλλεὺς ἐν Ἠπείρῳ τιμὰς ἰσοθέους ἔσχεν Ἄσπετος ἐπιχωρίῳ φωνῇ προσαγορευόμενος. Ptolemæus Hephæstio in Photii Biblioth. p. 147, 18 Bekker : Ἐκαλεῖτο (ὁ Ἀχιλλεὺς scil.) δὲ καὶ Ἰσσά, καὶ Πύρρα, καὶ Ἄσπετος. De Achille locutum esse Aristotelem ob Patroclum Opuntium notavit C. Müllerus fr. 121.

188 (560).

Chœroboscus ad Theodosii Canones t. I, p. 75, 23 Gaisf. (p. 1393 in Anecd. Bekk.) : Τὰ εἰς δων λήγοντα δισύλλαβα βαρύτονα διὰ τοῦ ω κλίνονται, εἰ μὴ μετοχικὴν κλίσιν ἀναδέχονται, οἷον κώδων... τὸ Μέδων, ἔστι δὲ κύριον ὄνομα, ὁ μὲν ποιητὴς Ὅμηρος διὰ τοῦ ντ κλίνει, οἷον Μέδοντος, τῷ λόγῳ τῶν μετοχικῶν, Ἰσαῖος δὲ ὁ ῥήτωρ καὶ Ἀριστοτέλης ἐν Ὀπουντίων Πολιτείᾳ Μέδωνος φησὶν ἀναλόγως. Locus Homeri est Il. β, 727, cf. ν, 693, Eustath. p. 277, 17, Schol. Vict. ad Il. ν. 694 et Etymol. M. p. 606, 10.

---

nuisse ait. Similiter in Opuntiorum Republica et Megarensium.

185.

Opuntis, Eleorum regis, filia erat, quam Aristoteles Cambysen nominat.

Quæ est canis lignea apud Locros? Locrus Physcii filius Amphictyonis nati ex Cabya filium habuit Locrum, cum quo postquam in discordiam incidit, magno civium numero assumpto, oraculum de colonia deducenda consuluit : tulitque responsum ibi se urbem condere debere, ubi morsus esset a cane lignea. Mari trajecto rubum caninum (*cynosbaton*, id est fruticem spinosum) calcavit, vulnereque vexatus, per aliquot dies ibi commoratus, regionis natura considerata, Physcenses, Hyanthiamque condidit, urbesque alias, quæ a Locris deinde Ozolis cultæ sunt.

186.

Amphissa urbs Locridos. Aristoteles in Opuntiorum Republica sic ait : Andræmon fuit conditor, Amphissa vero urbs nuncupata est propterea quod locus montibus circumdatus erat.

187.

Aspetus in Epiro Achilles cognominatur, ut ait Aristoteles in Opuntiorum Republica.

188.

Medon, nomen proprium apud Homerum ad rationem participiorum ita flectitur ut genetivus sit Medontis; sed Isæus orator et Aristoteles in Opuntiorum Republica Medonis in genetivo casu dixerunt.

## ΟΡΧΟΜΕΝΙΩΝ.

### 189 (561).

**Joannes Tzetzes Proleg. ad Comm. in Hesiodi Opera, p. 15 Gaisf. :** Τὸν παλαιὸν δὲ Ὅμηρον Διονύσιος ὁ κυκλογράφος φησὶν ἐπ' ἀμφοτέρων ὑπάρχειν τῶν Θηβαϊκῶν στρατειῶν καὶ τῆς Ἰλίου ἁλώσεως. Ἐκ τούτου γοῦν λογίζομαι τοῦτον τοῦ Ἡσιόδου εἶναι υ' ἐτῶν προγενέστερον. Ἀριστοτέλης γὰρ ὁ φιλόσοφος, μᾶλλον δ' οἶμαι ὁ τοὺς Πέπλους συντάξας, ἐν τῇ Ὀρχομενίων Πολιτείᾳ Στησίχορον τὸν μελοποιὸν εἶναί φησιν υἱὸν Ἡσιόδου ἐκ τῆς Κλυμένης αὐτῷ γεννηθέντα τῆς Ἀμφιφάνους καὶ Γανύκτορος ἀδελφῆς, θυγατρὸς δὲ Φηγέως· ὁ δὲ Στησίχορος οὗτος σύγχρονος ἦν Πυθαγόρᾳ τῷ φιλοσόφῳ καὶ τῷ Ἀκραγαντίνῳ Φαλάριδι· οἱ δὲ Ὁμήρου υ' ὑστέριζον ἔτεσι, καθά φησι καὶ Ἡρόδοτος (II, 53)... Τελευτᾷ δὲ Ἡσίοδος ἐν Λοκρίδι τοιουτοτρόπως. Μετὰ τὴν νίκην, ἣν αὐτὸν νενικηκέναι φασὶν ἐπὶ τῇ τελευτῇ Ἀμφιδάμαντος, εἰς Δελφοὺς ἐπορεύθη, καὶ ἐδόθη αὐτῷ οὑτοσὶ ὁ χρησμός·

Ὄλβιος οὗτος ἀνήρ, ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος Μούσῃσι τετιμένος ἀθανάτῃσι·
τοῦ δή τοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς.
Ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος·
κεῖθι δέ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

Ὁ δὲ τὴν ἐν Πελοποννήσῳ Νεμέαν φυγὼν ἐν Οἰνόῃ τῆς Λοκρίδος ὑπὸ Ἀμφιφάνους καὶ Γανύκτορος τῶν Φηγέως παίδων ἀναιρεῖται καὶ ῥίπτεται εἰς τὴν θάλασσαν ὡς φθείρας τὴν ἀδελφὴν ἐκείνων Κλυμένην, ἐξ ἧς ἐγεννήθη Στησίχορος. Ἐκαλεῖτο δὲ ἡ Οἰνόη Διὸς Νεμείου ἱερόν. Μετὰ δὲ τρίτην ἡμέραν ὑπὸ δελφίνων πρὸς τὸν αἰγιαλὸν ἐξήχθη τὸ σῶμα μεταξὺ Λοκρίδος καὶ Εὐβοίας, καὶ ἔθαψαν αὐτὸν Λοκροὶ ἐν Νεμέᾳ τῇ τῆς Οἰνόης. Οἱ δὲ φονεῖς αὐτοῦ νηὸς ἐπιβάντες ἐπειρῶντο φυγεῖν, χειμῶνι δὲ διεφθάρησαν. Ὀρχομένιοι δὲ ὕστερον κατὰ χρησμὸν ἐνεγκόντες τὰ Ἡσιόδου ὀστᾶ θάπτουσιν ἐν μέσῃ τῇ ἀγορᾷ καὶ ἐπέγραψαν τάδε·

Ἄσκρη μὲν πατρὶς πολυλήιος· ἀλλὰ θανόντος
ὀστέα πληξίππων γῆ Μινύων κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστίν,
ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

Ἐπέγραψε δὲ καὶ Πίνδαρος·

Χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφου ἀντιβολήσας,
Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης.

**Eadem fere in Certamine Homeri et Hesiodi sunt c. 15 sq. Quæ ibi similia de Homeri morte narrantur, eorum partis fontem fuisse Aristotelem in Dialogo de Poetis supra jam vidimus; quamquam de his satis difficile est judicium facere, propter scriptorum quibus hæc debentur levitatem. Ceterum de Hesiodi duplici sepultura Aristotelem in Orchomeniorum Republica narravisse testatur Plutarchus apud Proclum in Hes. O. et D. v. 631 (fr. 36, t. V, p. 28 Plutarchi Operum ed. Didot.) :** Ἀοίκητον δὲ αὐτὸ (τὴν Ἄσκραν sc.) ὁ Πλούταρχος ἱστορεῖ καὶ τότε εἶναι, Θεσπιέων ἀνελόντων τοὺς οἰκοῦντας, Ὀρχομενίων δὲ τοὺς σωθέντας δεξαμένων· ὅθεν καὶ τὸν θεὸν Ὀρχομενίοις προστάξαι τὰ Ἡσιόδου λείψανα λαβεῖν καὶ θάψαι παρ' αὐτοῖς, ὡς καὶ Ἀριστοτέλης φησὶ γράφων τὴν Ὀρχο-

---

### ORCHOMENIORUM.

#### 189.

Aristoteles philosophus, vel potius, mea quidem sententia, Peplorum auctor, in Orchomeniorum Republica Stesichorum lyricum ait filium esse Hesiodi e Clymene natum, Amphiphanis et Ganyctoris sorore, Phegeique filia. Fuit autem hic Stesichorus æqualis Pythagoræ philosophi et Phalaridis Agrigentini, quos constat posteriores fuisse Homero quadringentis annis, quemadmodum etiam Herodotus testatur... De morte autem Hesiodi sciendum, illum in Locride hac ratione vitam finiisse. Post victoriam, quam ipsi contigisse aiunt in funebribus justis Amphidamantis, profectus est Delphos, datumque illi fuit hoc oraculum :

Felix ille vir est, nostram qui circumit ædem
Hesiodus Musis, quæ non moriuntur, amatus,
Cujus tam late extendet se gloria famæ,
Quam late terras Phœbus prospectat Eoas.
Tu vero memora ista Jovi sacrata Nemeo
Custodi, fatum cui mortem destinat atram.

Ille autem quum Nemeam in Peloponneso relinqueret, Œnoæ in Locride ab Amphiphane et Ganyctore Phegei filiis interficitur et projicitur in mare, putantibus ipsum stupratorem esse Clymenes sororis ipsorum, ex qua natus fuit Stesichorus. Vocabatur autem Œnoe Jovis Nemei templum. Verumenimvero post triduum delphines cadaver e mari ducunt et in littore deponunt quod Locridem et Eubœam disterminat et sepeliverunt ipsum Locrenses in Nemea Œnoensi. Auctores vero cædis conscensis navibus conabantur fugam quærere, sed tempestate perierunt. Orchomenii postea, oraculo moniti, ossa jam sepulti Hesiodi ex Nemea auferunt, eaque in medio suo foro terræ reddunt, his versibus super monumentum inscriptis :

Ascra solum patrium fuerat, non fertile multum,
Hesiodi, corpus sed Minya ora tenet.
Inter mortales semper celebrabitur omnes,
Qui bona prudenter facta probare solent.

Scripsit etiam Pindarus tale epitaphium :

Salve, iterum pubescens ac bis condite, salve,
Hesiode, humanæ qui modus es sophiæ.

Ascram jam tunc desertam fuisse tradit Plutarchus, incolis a Thespiensibus trucidatis, iisque qui stragem effugissent ab Orchomeniis in urbem receptis. Unde etiam deum Orchomeniis imperasse, ut Hesiodi ossa apud se

μενίων Πολιτείαν. Cf. Append. Prov. IV, 92 t. I, p. 456 ed. Gotting. s. v. Τὸ Ἡσιόδειον γῆρας : Ἀριστοτέλης ἐν Ὀρχομενίων Πολιτείᾳ δὶς τεθάφθαι φησὶ τὸν Ἡσίοδον καὶ ἐπιγράμματος τοῦδε τυχεῖν· « Χαῖρε κτέ. » Παρόσον τό τε γῆρας ἀπέβη καὶ δὶς ἐτάφη. Apud Macarium VIII, 49 et Suidam sub eodem lemmate epigramma Pindaro tribuitur, cf. Bergk, in Poetar. lyric. ed. tertia, p. 383. Quæ e Plutarcho laudat Proclus ea in Septem sapient. convivio c. 19 legi putat Rosius. Conjectura satis est probabilis, licet Ascræ, propter quam ad Plutarchum provocat Proclus, nulla ibi mentio fiat. Verba autem Plutarchi Aristotelicam, ut videtur, narrationem referentia hæc sunt l. l. : Ἀνθρώπινον δὲ καὶ πρὸς ἡμᾶς τὸ τοῦ Ἡσιόδου πάθος· ἀκήκοας γὰρ ἴσως τὸν λόγον. Οὐκ ἔγωγε, εἶπον. Ἀλλὰ μὴν ἄξιον πυθέσθαι. Μιλησίου γὰρ ὡς ἔοικεν ἀνδρός, ᾧ ξενίας ἐκοινώνει Ἡσίοδος καὶ διαίτης ἐν Λοκροῖς, τῇ τοῦ ξένου θυγατρὶ κρύφα συγγενομένου καὶ φωραθέντος, ὑποψίαν ἔσχεν ὡς γνοὺς ἀπ' ἀρχῆς καὶ συνεπικρύψας τὸ ἀδίκημα, μηδενὸς ὢν αἴτιος, ὀργῆς δὲ καιρῷ καὶ διαβολῇ περιπεσὼν ἀδίκως. Ἀπέκτειναν γὰρ αὐτὸν οἱ τῆς παιδίσκης ἀδελφοὶ περὶ τὸ Λοκρικὸν Νέμειον ἐνεδρεύσαντες καὶ μετ' αὐτοῦ τὸν ἀκόλουθον ᾧ Τρώϊλος ἦν ὄνομα. Τῶν δὲ σωμάτων εἰς τὴν θάλασσαν ὠσθέντων, τὸ μὲν τοῦ Τρωΐλου εἰς τὸν Δάφνον ποταμὸν ἔξω φερόμενον ἐπεσχέθη περικλύστῳ χοιράδι μικρὸν ὑπὲρ τὴν θάλασσαν ἀνεχούσῃ· καὶ μέχρι νῦν Τρώϊλος ἡ χοιρὰς καλεῖται. Τοῦ δὲ Ἡσιόδου τὸν νεκρὸν εὐθὺς ἀπὸ γῆς ὑπολαβοῦσα δελφίνων ἀγέλη πρὸς τὸ Ῥίον ἐκόμιζε καὶ τὴν Μολυκρίαν. Ἐτύγχανε δὲ Λοκροῖς ἡ τῶν Ῥιείων (Ἀριαδνείων legitur in Certamine Homeri et Hesiodi c. 15) καθεστῶσα θυσία καὶ πανήγυρις, ἣν ἄγουσιν ἔτι νῦν περιφανῶς περὶ τὸν τόπον ἐκεῖνον. Ὡς δὲ ὤφθη προσφερόμενον τὸ σῶμα, θαυμάσαντες ὡς εἰκὸς ἐπὶ τὴν ἀκτὴν κατέδραμον καὶ γνωρίσαντες ἔτι πρόσφατον τὸν νεκρόν, ἅπαντα δεύτερα τοῦ ζητεῖν τὸν φόνον ἐποιοῦντο, διὰ τὴν δόξαν τοῦ Ἡσιόδου. Καὶ τοῦτο μὲν ταχέως ἔπραξαν εὑρόντες τοὺς φονεῖς· αὐτούς τε γὰρ κατεπόντισαν ζῶντας καὶ τὴν οἰκίαν κατέσκαψαν. Ἐτάφη δὲ Ἡσίοδος πρὸς τῷ Νεμείῳ (cf. Thucydides III, 96, 102, Pausanias IX, 38)· τὸν δὲ τάφον οἱ πολλοὶ τῶν ξένων οὐκ ἴσασιν, ἀλλ' ἀποκέκρυπται ζητούμενος ὑπ' Ὀρχομενίων, ὥς φασι, βουλομένων κατὰ χρησμὸν ἀνελέσθαι τὰ λείψανα καὶ θάψαι παρ' αὐτοῖς.

De dubitatione, satis leviter a Tzetze mota, Pindari epigramma ab auctore Pepli, non vero ab eo qui Orchomeniorum Rempublicam conscripserat servatum fuisse, postea dicemus quum de Peplo disputabimus.

190 (562).

Pollux X, 165 : Καὶ ὅταν μὲν ἐν Ἀχαρνεῦσιν (v. 108) εἴπῃ Ἀριστοφάνης ἀχάνας χρυσίου, τὸ ἀγγεῖον ἴσως Περσικόν· ἔνιοι δὲ τὴν θεωρικὴν κίστην οὕτω κεκλῆσθαι νομίζουσιν. Ἐν δὲ Ἀριστοτέλους Ὀρχομενίων Πολιτείᾳ μέτρον ἐστὶν Ὀρχομένιον τετταράκοντα πέντε μεδίμνους χωροῦν Ἀττικούς. Οἱ δὲ κοιτίδας τὰς Πυθῶδε ἰόντων, ὅτε καὶ τὰ λεβητάρια καλοῦσι ταναγρίδας.

Schol. Aristoph. Acharn. 108 : Οὔχ, ἀλλ' ἀχάνας : Ἀχάνη μέτρον ἐστὶ Περσικόν, ὥσπερ ἡ ἀρτάβη παρ' Αἰγυπτίοις. Ἐχώρει δὲ μεδίμνους Ἀττικοὺς με', ὡς μαρτυρεῖ Ἀριστοτέλης. Ἄλλοι δέ φασιν ὅτι κίστις ἐστίν, εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι. Hesychius s. v. Ἀχάνας : Τινὲς μὲν Περσικὰ μέτρα, Φανόδημος δὲ κίστας, εἰς ἃς κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ θεωρικὰ ἰόντες, οἱ εἰς θεοὺς στελλόμενοι, et iterum s. v. Ἀχάνη :

---

sepelirent. Tradit hoc etiam Aristoteles in Orchomeniorum Republica.

Aristoteles in Republica Orchomeniorum dicit Hesiodum bis sepultum, atque hocce nactum esse epigramma : « Salve etc. »

Milesius quidam, cum quo hospitii ac convictus usus Hesiodo intercedebat apud Locros, hospitis filiæ pudicitiam imminuerat : re comperta creditum est Hesiodum ab initio conscium flagitii fuisse, in eoque occultando operam navasse : quum quidem hic insons, nulla sua culpa in iram hominum per calumniam et sinistras incidisset suspiciones. Nihilominus eum puellæ fratres apud Locrense Nemeium, ex insidiis trucidaverunt : unaque asseclam ipsius Troilum. Ceterum cadaveribus in mare devolutis, Troili cadaver foras in Daphnum fluvium delatum, apud scopulum aquis ambitum et non multum ex mari exstantem detentum fuit : qui scopulus etiamnum Troilus dicitur. Hesiodi autem cadaver, ubi primum a terra excidit, excipiens delphinorum grex ad Rhium et Molyciam deportavit. Forte tum Locri solemnem conventum agebant apud Rhium, ac sacris operabantur publicis, quæ etiamnum splendide isto in loco peraguntur. Quum vero cadaver videretur afferri, mirati, ut par erat, ad littus accurrerunt : quumque cadaver recens interfecti Hesiodi agnoscerent, gloria hominis permoti nihil antiquius habuerunt quam cædis auctores quærere : ac cito iis successit res, inventosque percussores vivos in mare præcipitaverunt, et eorum domum diruerunt. Ipse Hesiodus apud Nemeium sepultus est : et sepulcrum ejus plerique peregrini ignorant : occultatur enim propter Orchomenios, qui id quærunt, et reliquias Hesiodi, monitu oraculi cujusdam, auferre et apud se humare cupiunt.

190.

Achane in Aristotelis Orchomeniorum Republica mensura est, quæ continet quadraginta quinque modios Atticos.

Μέτρον σίτου ἐν Βοιωτίᾳ χωροῦν μέδιμνον ἕν (corr. μεδίμνους με'). Synag. lex. Seg. p. 473, 32 Bekk. : Ἀχάνη : Μέτρον Βοιώτιον πολλῶν τινῶν μεδίμνων. Οὕτως Ἀριστοφάνης, ubi aperte Ἀριστοτέλης reponendum est, cum Bournotio l. l. p. 285.

## ΠΑΡΙΩΝ.

Vide Sopatri excerpta apud Photium, supra fragm. 105 [b].

## ΠΕΛΛΗΝΙΩΝ.

191 (563).

Harpocration s. v. Μαστῆρες: Ὑπερίδης ἐν τῷ πρὸς Πάγκαλον. Ἔοικεν ἀρχή τις εἶναι ἀποδεδειγμένη ἐπὶ τὸ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ ζηταὶ καὶ οἱ ἐν Πελλήνῃ μάστροι, ὡς Ἀριστοτέλης ἐν τῇ Πελληνίων Πολιτείᾳ.

Eadem Photius et Suidas omisso Aristotelis nomine. Apud Harpocrationem fortasse sic scribendum : ὧν Ἀρ. ἐν τῇ Π. Π. μέμνηται. Cf. altera glossa apud Photium p. 248, 21 : Μαστῆρες οἱ τὰ φυγαδευτικὰ χρήματα εἰσπράττοντες· οἱονεὶ ζητηταὶ τῶν φυγαδευτικῶν χρημάτων, τῶν ἀειφυγίαν φυγαδευθέντων· ἐκλήθησαν δὲ μαστῆρες ἀπὸ τῶν κυνηγῶν τῶν ἐν τοῖς μαστοῖς τῶν ὀρῶν ζητούντων τὰ θηρία. Lex. Rhet. Seguer. p. 279, 6 : Μαστῆρες : Ζητηταὶ τῶν φυγαδικῶν χρημάτων. Hesychius s. v. Μαστήρ : ἐρευνητής, s. Μαστῆρες : Ζητοῦντες, ἐρευνῶντες, s. Μαστροί. Παρὰ Ῥοδίοις βουλευτῆρες. Schol. Apoll. Rhodii IV, 1003.

Πελληναίων Πολιτείαν a Dicæarcho conscriptam memorat Cicero Epist. ad Attic. II, 2.

## ΡΗΓΙΝΩΝ.

192 (564).

Pollux V, 75 : Ἰθάκη δὲ μόνη τῶν νήσων ἄγονός ἐστι λαγῶ. Καρπάθιοι δὲ πρότερον οὐκ ὄντων ἐν τῇ νήσῳ λαγῶν ζεῦγος εἰσαγαγόμενοι, τὸ μὲν εἰς πλῆθος ἐκ τῆς πολυγονίας ἐπιδιδοῦν ἔφθειρε τοὺς καρπούς, οἱ δὲ παροιμίαν ἐποίησαν ἐπὶ τῶν ἐπισπαστὸν κακὸν ἐφ' ἑαυτοὺς ἐπαγαγόντων· « Ὁ Καρπάθιος τὸν λαγών.» Καὶ μὴν Ἀναξίλας ὁ Ῥηγῖνος οὔσης, ὥς Ἀριστοτέλης φησίν, τῆς Σικελίας τέως ἀγόνου λαγῶν, ὁ δὲ εἰσαγαγών τε καὶ θρέψας, ὁμοῦ δὲ καὶ Ὀλύμπια νικήσας ἀπήνῃ, τῷ νομίσματι τῶν Ῥηγίνων ἐνετύπωσεν ἀπήνην καὶ λαγών.

Priora fortasse ex Ithacensium Republica ducta sunt, ad explicationem proverbii ὁ Καρπάθιος τὸν λαγών, de quo cf. Zenob. Prov. IV, 48. Neque obstant quæ apud Aristotelem in Hist. Anim. VIII, 28, 13, inde a Plinio Hist. nat. VIII, 226 et Eustathio in Odyss. p. 1821, 30 exscripta, leguntur, lepores nempe nullos in insula Ithaca inveniri, eosque qui in eam translati essent ad littus maris mortuos inventos esse. Anaxilæ mentio fit etiam in Excerptis Heraclidis p. 21, 15 : Ἐτυράννησε δὲ αὐτῶν (τῶν Ῥηγίνων scil.) Ἀναξίλας Μεσσήνιος· καὶ νικήσας Ὀλύμπια ἡμιόνοις, εἱστίασε τοὺς Ἕλληνας, καί τις αὐτὸν ἐπέσκωψεν εἰπών· Οὗτος τί ἂν ἐποίει νικήσας ἵπποις; Ἐποίησε δὲ καὶ ἐπινίκιον Σιμωνίδης.

Χαίρετ' ἀελλοπόδων θύγατρες ἵππων.

... ἐγένοντο. Quæ supplenda esse perspexit Schneidewinus e tertio libro Rhetoricorum Aristotelis c. 2 § 5 ubi eadem narrantur.

## ΡΟΔΙΩΝ.

193 (565).

Schol. Pindar. Olymp. VII ad inscriptionem : Διαγόρᾳ Ῥοδίῳ πύκτῃ : νικήσαντι τὴν οθ' Ὀλυμπιάδα. Ταύτην τὴν ᾠδὴν ἀνακεῖσθαί φησι Γόργων ἐν τῷ τῆς Λινδίας Ἀθηνᾶς ἱερῷ χρυσοῖς γράμμασιν. Ὁ Διαγόρας οὗτος υἱὸς μὲν ἦν Δαμαγήτου τοῦ Ῥοδίου, ἐνίκησε δὲ καὶ Πύθια καὶ Ἴσθμια. Περὶ δὲ τούτου τοῦ Διαγόρου εἶπε μὲν καὶ Ἀριστοτέλης καὶ Ἀπολλᾶς, μαρτυροῦσι δὲ τοιαῦτα. Κατὰ γὰρ τὴν Ὀλυμπίαν

---

PELLENENSIUM.

191.

Μαστῆρες, inquisitores, magistratus quidam constitutus ad pecunias publicas colligendas velut ζητηταί et apud Pellenenses μάστροι, ut tradit Aristoteles in Republica Pellenensium.

RHEGINORUM.

192.

Quum Sicilia, Aristotele teste, ante Anaxilam lepores non produxisset, hic invehens nutriensque, simul rheda in Olympia vincens, Rheginorum monetæ rhedam insculpsit et leporem.

RHODIORUM.

193.

*Diagoræ Rhodio pugili;* qui vicit Olymp. LXXIX. Hanc odam Gorgon dicit litteris aureis scriptam in templo Minervæ Lindiæ expositam esse. Hic Diagoras filius erat Damageti Rhodii Pythiis quoque et Isthmiis vicerat. Dixit de eo Aristoteles et Apollas. Tradunt vero hæc : In Olympia posita Diagoræ statua post statuam Lysandri; cubitorum est quattuor et digitorum quinque, dextram manum extendit, lævam corpori acclinat. Post hunc stat Demagetus, filiorum natu maximus, avo cognominis, in pancratium projectus, ipse quoque cubitorum quattuor, sed patre minor digitis quinque. Prope hunc stat Dorieus

ἕστηκεν ὁ Διαγόρας μετὰ τὴν Λυσάνδρου εἰκόνα, πηχῶν τεσσάρων δακτύλων πέντε, τὴν δεξιὰν ἀνατείνων χεῖρα, τὴν δὲ ἀριστερὰν εἰς ἑαυτὸν ἐπικλίνων. Μετὰ δὲ τοῦτον ἵσταται καὶ ὁ Δαμάγητος ὁ πρεσβύτατος τῶν παίδων αὐτοῦ, ὃς ἦν καὶ ὁμώνυμος τῷ πάππῳ, παγκράτιον προβεβλημένος, καὶ αὐτὸς πηχῶν τεσσάρων, ἐλάττων δὲ τοῦ πατρὸς δακτύλων πέντε. Ἐχόμενος δὲ τούτου ἕστηκε Δωριεὺς ἀδελφός, πύκτης καὶ αὐτὸς προβεβλημένος. Τρίτος δὲ μετ' ἐκεῖνον Ἀκουσίλαος, τῇ μὲν ἀριστερᾷ ἱμάντα ἔχων πυκτικόν, τὴν δὲ δεξιὰν ὥσπερ πρὸς εὐχὴν ἀνατείνων. Καὶ οὗτοι μὲν οἱ τοῦ νικηφόρου παῖδες ἐν στήλαις ἵστανται σὺν τῷ πατρί, μετ' ἐκείνους δὲ καὶ θυγατέρων αὐτοῦ νικηφόροι υἱοὶ δύο, Εὐκλῆς πυγμῇ νικήσας Ἄνδρωνα (ἀνδρῶν corr. Rosius, coll. Pausan. VI, 6, 2 et 7, 3 πύξ τε ἤσκησαν καὶ ἔσχον Ὀλυμπιακὰς νίκας ἐν μὲν ἀνδράσιν Εὐκλῆς... Πεισίροδος δὲ ἐν παισίν) καὶ μετ' ἐκεῖνον Πεισίρροθος. Καὶ λέγεται κατὰ τὰ Ὀλύμπια νικήσαντας τοὺς παῖδας κατὰ τὴν αὐτὴν ἡμέραν τῷ πατρί, περιλαβόντας οὖν τὸν Διαγόραν περιμένει τὸ στάδιον μακαριζομένους ὑπὸ τῶν Ἑλλήνων. Χρόνῳ δὲ ὕστερόν φασι καὶ τὴν τούτου θυγατέρα Καλλιπάτειραν ἐλθεῖν εἰς τὴν Ὀλυμπίαν καὶ αἰτεῖν παρὰ τῶν Ἑλλανοδικῶν ἐπιτρέψαι τὴν θέαν αὐτῇ, τοὺς δὲ κωλύειν φάσκοντας κατὰ νόμον γυναῖκα μὴ θεωρεῖν τὸν γυμνικὸν ἀγῶνα· τὴν δὲ φῆσαι πρὸς αὐτοὺς οὐχ ὁμοίαν εἶναι ταῖς ἄλλαις γυναιξίν, ἀλλὰ φέρειν πλέον τι ταῖς προγονικαῖς ἀρεταῖς ἐπερειδομένην· ἔσχε γὰρ καὶ τὸν πατέρα καὶ τοὺς τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας, Δαμάγητον, Δωριέα, Ἀκουσίλαον, καὶ ἐξ ἀδελφῆς παῖδα Εὐκλέα καὶ αὐτῆς υἱὸν Πεισίρροθον. Καὶ δεῖξαι τάς τε τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν στήλας καὶ οὕτω νικηθέντας τοὺς Ἑλλανοδίκας ἐπιχωρῆσαι καὶ συνήθειαν νόμου διαλῦσαι καὶ τῇ Καλλιπατείρᾳ τὴν θέαν ἐπιτρέψαι. Καὶ τὰ μὲν περὶ αὐτῶν τοσαῦτα. Ἱστόρηται δὲ ὁ Διαγόρας Ἑρμοῦ παῖς γεγενῆσθαι· φασὶ γὰρ αὐτοῦ τὴν μητέρα εἰς ἀγρόν που πορευομένην, εἶτα καύματος σφοδροῦ ἐπισχόντος ἐπικλιθῆναί τινι Ἑρμαίῳ τεμένει καὶ οὕτω τὸν θεὸν αὐτῇ συνελθεῖν, τὸν δὲ Διαγόραν οὕτω τεκεῖν αὐτήν, ὃς πρῶτος ἀφ' Ἡρακλέους λέγεται τοιοῦτος γενέσθαι. Ἀφ' οὗ γὰρ Ἡρακλῆς συνέθηκε τὸν ἀγῶνα μηδενί πω τοιαῦτα συμβῆναι, ὥστε καὶ τὸν πατέρα καὶ τοὺς υἱοὺς Ὀλυμπιονίκας γενέσθαι.

## ΣΑΜΙΩΝ.

### 194 (566).

Plinius Hist. nat. V, s. 37, 135 : *Samon... Partheniam primum appellatam* Aristoteles *tradit, postea Dryussam, deinde Anthemussam. Aristocritus adjicit Melamphyllum, dein Cyparissiam, alii Parthenoarussam, Stephanen*. Cf. de Aristocrito C. Müller, Fragm. Hist. gr. t. IV, p. 334, qui laudat ad h. l. Panofka, *Res Samior*. Berol. 1822, p. 8 sqq.

Stephan. Byz. s. v. Σάμος : Ἐπιφανὴς πρὸς τῇ Καρίᾳ νῆσος. Ἐκλήθη δὲ πρότερον Παρθενία καὶ Δρυοῦσσα καὶ Ἀνθεμοῦσσα καὶ Μελάμφυλλος. Cf. Strabo XIV, p. 637 : Ἐκαλεῖτο δὲ Παρθενία πρότερον οἰκούντων Καρῶν, εἶτα Ἀνθεμοῦς, εἶτα Μελάμφυλλος, εἶτα Σάμος εἴτ' ἀπό τινος ἐπιχωρίου ἥρωος εἴτ' ἐξ Ἰθάκης καὶ Κεφαλληνίας ἀποικίσαντος, Schol. Apollonii Rhod. II, 867, Hesych. s. v. Δρυοῦσσα et Δόρυσσα, Heraclid. Excerpt. p. 15, 1 : Ἡ δὲ νῆσος Παρθενία, ὕστερον δὲ Δρυοῦσσα.

Ex Aristotele fortasse ducta esse putat Rosius quæ leguntur apud Iamblichum, Vita Pythagor. c. 2 : Λέγεται δὴ οὖν Ἀγκαῖον τὸν κατοικήσαντα τὴν Σάμον τὴν ἐν τῇ Κεφαλληνίᾳ γεγενῆσθαι μὲν ἀπὸ Διὸς (male pro Ποσειδῶνος, cf. Schol. Apoll. Rhod. I, 185, II, 866. Pausan. VII, 4 et quod sequitur fragm.)... φρονήσει δὲ καὶ δόξῃ τῶν ἄλλων Κεφαλληνίων διαφέρειν. Τούτῳ δὲ γενέσθαι χρησμὸν παρὰ τῆς Πυθίας συναγαγεῖν ἀποικίαν ἀπὸ τῆς Κεφαλληνίας καὶ... οἰκίσαι νῆσον τὴν δι' ἀρετὴν τοῦ ἐδάφους καὶ τῆς γῆς Μελάμφυλλον καλουμένην, προσαγορεῦσαί τε τὴν πόλιν Σάμον ἀντὶ τῆς Σάμης τῆς ἐν Κεφαλληνίᾳ. Τὸν μὲν οὖν χρησμὸν συνέβη γενέσθαι τοιοῦτον·

Ἀγκαῖ' ἐνυαλίαν νῆσον Σάμον ἀντὶ Σάμης σε
οἰκίζειν κέλομαι· Φυλλὰς δ' ὀνομάζεται αὕτη.

---

frater, pugil, et ipse projectus. Tertius post hunc Acusilaus, læva tenens lorum pugilis, dextram ut ad precationem extendens. Atque hi quidem victoris filii in stelis stant cum patre. Post illos vero etiam filiarum filii victores duo, Eucles qui viros pugilatu vicit et Pisirrhothus. Porro narratur filios, quum Olympiis eodem quo pater die vicissent, cingentes patrem stadium perambulasse ac beatos a Græcis esse prædicatos. Aliquo post tempore etiam filiam ejus Callipatiram Olympiam venisse ac petiisse ex Hellanodicis dicunt, ut spectare ludos ipsi permitterent. Quod quum recusarent dicentes lege vetitum esse, ne mulieres gymnicos ludos spectarent, tum vero illam dixisse, non se similem reliquis esse mulieribus, sed majus quid, gentis suæ virtutibus innixam. Habebat enim et patrem et fratres tres, Damagetum, Dorieum, Acusilaum Olympionicas, et sororis item filium Euclem, et suum ipsum Pisirrhothum. Ac monstrasse eam patris fratrumque stelas, atque ita victos Hellanodicas cessisse, ac soluta legis consuetudine permisisse Callipatiræ, ut spectatrix ludis interesset.

ubi pro Φυλλάς, Φωλλὶς scribendum esse videtur.

195 (567).

Schol. cod. Laur. Apollonii Rhod. I, 188, p. 315, 16 Keil : Παρθενίης Ἀγκαῖος : Ἀριστοτέλης φησί, τιθεὶς ἐπὶ Ἀγκαῖον τὴν παροιμίαν, ὅτι γέγονε φιλογέωργος Ἀγκαῖος καὶ πολλὰς ἐφύτευσεν ἀμπέλους. Εἰπόντος δὲ αὐτῷ τοῦ θεράποντος ὅτι θᾶττον ἀποθανεῖται ἢ πίεται ἐκ τοῦ καρποῦ τῆς ἀμπέλου, Ἀγκαῖος ὡρίμου γενομένου τοῦ καρποῦ τρίψας βότρυν ἐκάλεσε τὸν θεράποντα καὶ εἶπεν ὡς ἔζησεν μέχρις οὗ καρποφορήσῃ ἡ ἄμπελος, καὶ ἔμελλε πίνειν. Τοῦ δὲ θεράποντος εἰπόντος·

Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου,

διηγγέλη αὐτῷ τις σῦς διαλυμαινόμενος τὴν χώραν, ἐφ' ὃν ἐκδραμὼν πρὶν πίῃ ἀνῃρέθη ὑπ' αὐτοῦ. Διὸ ἐπεκράτησεν ἡ παροιμία ἐπὶ τῶν παρὰ προσδοκίαν τι πραττόντων. Καὶ Φερεκύδης ἐν τῇ η' φησὶ τὸν Ἀγκαῖον ὑπὸ τοῦ Καλυδωνίου συὸς πληγέντα τὸν μηρὸν ἀποθανεῖν.

Isac. Tzetzes ad Lycophron. v. 488 : Ὁ γὰρ Ἀγκαῖος οὗτος, υἱὸς ὢν Ποσειδῶνος καὶ Ἀστυπαλαίας, τῆς Φοίνικος, ἐφύτευσεν ἄμπελον, κατὰ Ἀριστοτέλη τὸν τοὺς Πέπλους συντάξαντα. Μάντις δέ τις εἶπεν αὐτῷ ὡς οὐ πίοι οἶνον ἐκ ταύτης. Ἐνηνοχυίας δὲ τῆς ἀμπέλου καρπόν, ἀπέθλιψεν ὁ Ἀγκαῖος τὴν σταφυλὴν εἰς ἀγγεῖον, ἤγουν κύλικα, ὡς πιόμενος, καὶ κατεγέλα τοῦ μάντεως, δεικνύων τὴν κύλικα. Ὁ δ' ἔφη· Πολλὰ κτέ. Βοῆς δὲ γενομένης ὡς συὸς λυμαινομένου τὴν χώραν, θεὶς τὴν κύλικα ὁ Ἀγκαῖος ἐξῆλθεν ἐπὶ τὸν σῦν, καὶ πρῶτος ἀνῃρέθη ὑπ' αὐτοῦ.

Zenob. Prov. V, 71 : Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου : Παροιμία λεχθεῖσα ἐξ αἰτίας τοιαύτης. Ἀγκαῖος παῖς Ποσειδῶνος φυτεύων ἀμπελῶνα βαρέως ἐπέκειτο τοῖς οἰκέταις. Εἷς δὲ τῶν οἰκετῶν ἔφη μὴ μεταλήψεσθαι τὸν δεσπότην τοῦ καρποῦ. Ὁ δὲ Ἀγκαῖος ἐπειδὴ ὁ καρπὸς ἔφθακε, χαίρων ἐτρύφα καὶ τὸν οἰκέτην ἐκέλευσε κεράσαι αὐτῷ. Μέλλων δὲ τὴν κύλικα προσφέρειν τῷ στόματι ὑπεμίμνησκεν αὐτὸν τοῦ λόγου, ὁ δὲ ἔφη τὸν εἰρημένον στίχον. Τούτων ἔτι λεγομένων οἰκέτης ἦλθεν ἀπαγγέλλων ὡς ὑπερμεγέθης σῦς τὸν ὄρχατον λυμαίνεται. Ὁ δὲ Ἀγκαῖος ἀποβαλὼν τὴν πόσιν ἐπὶ τὸν σῦν ὥρμησε καὶ πληγεὶς ὑπ' αὐτοῦ ἐτελεύτησεν· ὅθεν ἡ παροιμία. Διονύσιος δέ φησιν εἰρῆσθαι αὐτὴν ἀπὸ τῆς Ἀντινόου μνηστευσαμένου τὴν Πηνελόπην συμφορᾶς (Odyss. χ, 9). Προσαγόμενος γὰρ τὸ ἔκπωμα ἐτελεύτησε παρὰ τοῦ Ὀδυσσέως. Cf. Proverb. Collect. II apud Millerum, *Mélanges de littérat. gr.*, p. 368 : Ἀριστοτέλης δέ φησιν Ἀγκαῖόν τινα Σαμίων βασιλέα μέλλοντα πίνειν ἀκοῦσαι κραυγὴν περὶ θήραν γενομένην καὶ ἐξελθόντα συμπλακῆναι τῷ συὶ καὶ ἀποθανεῖν· ὅθεν εἰρῆσθαι τὴν παροιμίαν· Πολλὰ κτέ.

Cum Zenobio faciunt Eudocia Viol. p. 24, Schol. vulg. Apoll. Rh. l. l., Diogenian. Prov. VII, 46, e quo sua transtulit Apostol. XIV, 46. Alteram proverbii explicationem ex eodem Dionysio Thrace proponit Schol. Odyss. χ, 9, p. 706, 14 Dind., deinde vero ita pergit : Λέγει δὲ Ἀριστοτέλης περὶ τῆς παροιμίας οὕτως. Ἀγκαῖος ὁ Ποσειδῶνος καὶ Ἀστυπαλαίας Σάμιος ὢν τὸ γένος, ἔχων οἰκέτην ἀπὸ Κρήτης ἐκέλευσεν αὐτὸν προσφέρειν ποτὸν πίνειν, ὅθεν ἐντεῦθεν αἱ ἄμπελοι τυγχάνουσιν. Εἰπόντος δὲ αὐτοῦ ὡς οὐ δυνήσεται πιεῖν, αὐτὸς ὁ Ἀγκαῖος κατακερτομήσας τοὺς θεράποντας ἔλαβε τὴν κύλικα καὶ προσέθετο. Λέξαντος δὲ ἐκείνου· Πολλὰ κτέ. ἄφνω συνέβη χρῆμα μεγάλου συὸς ἐπιβαρῆσαι τοῖς Ἀγκαίου χωρίοις· ἀκούσαντα δὲ αὐτὸν ἀπὸ τῶν χειλέων τὴν κύλικα καταθεῖναι καὶ διαδραμεῖν πρὸς τὸν ἄγριον, συμβαλόντα δὲ τῷ κάπρῳ τελευτῆσαι. Ἔνθεν φασὶ (φησὶ vulg. et Marc.) καταρρυῆναι τὴν παροιμίαν, in quibus lectionem codicis Vindobonensis (Græc. phil. 133) a Rosio collati secuti sumus. Ceterum rem hîc male narratam esse testantur quæ leguntur in Heracl. Excerpt. X, 2 : Ἐβασίλευσε δ' αὐτῶν (τῶν Σαμίων sc.) Ἀγκαῖος, ἀφ' οὗ τὰς ἀμπέλους ὁ θεράπων φυτεύων φησί· Πολλὰ κτέ.

In ipso proverbio, pro κύλικος, κοτύλης præbet Athenæus XI, p. 478, E.

196 (568).

Ælian. de Nat. Anim. XVII, 20 : Ἀριστοτέλης λέγει γίγνεσθαι ἐν Σάμῳ λευκὴν χελιδόνα.

---

SAMIORUM.

195.

Aristoteles ad Ancæum proverbium referens dicit hunc agriculturæ studiosum fuisse et multas vites plantasse. Cui quum servus dixisset moriturum priusquam de fructu vitis bibisset, Ancæus, fructibus maturatis, uvam expressit, vocatoque servo dixit se vixisse ad id usque tempus quo vitis fructus tulerit, simulque bibere volebat. Dum autem servus : *Multum*, aiebat, *inter poculum est labraque summa*, nuntiatum est ei aprum vastare regionem. In quem incurrens, priusquam bibisset occisus est ab eo. Inde proverbium de iis, quibus præter exspectationem aliquid accidit usurpatur. Pherecydes quoque in libro octavo narrat Ancæum periisse crure icto ab apro Calydonio.

196.

Aristoteles narrat in insula Samo albas hirundines nasci.

Ex Samiorum Republica desumpta hæc esse ostendunt Heracl. Excerpta, p. 15, 5: Ὅτι ἐν τοῖς Σαμίοις ἐφάνη λευκὴ χελιδὼν οὐκ ἐλάττων πέρδικος. Cf. Duris apud Antigon. Mirab. c. 132: Ὁ δὲ τοὺς Σαμιακοὺς ὥρους συγγεγραφὼς ἐπὶ τῶν πρώτων κληθέντων μαθητῶν τῶν περὶ Ἡρόστρατόν φησι χελιδόνα λευκὴν φανῆναι. Apud Ælianum lectio vulgata γίγνεσθαι ideo non in γενέσθαι mutanda videtur, quod scriptor, quum in sequentibus alia ex Aristotelis Hist. Anim. VI, 5 desumpta addiderit, credere potuit non de re semel tantum observata agi. Cf. ceterum Arist. Hist. Anim. III, 12, 12. Theophrasti fragm. περὶ Σημείων, c. 3, 2. Ælian. de Nat. An. VII, 7.

197 (569).

Ælianus de Nat. Anim. XII, 40: Τιμῶσι δὲ ἄρα Δελφοὶ μὲν λύκον, Σάμιοι δὲ πρόβατον, Ἀμπρακιῶται δὲ μὴν τὸ ζῷον τὴν λέαιναν. Τὰ δὲ αἴτια τῆς ἑκάστου τιμῆς εἰπεῖν οὐκ ἔστιν ἔξω τῆσδε τῆς σπουδῆς. Δελφοῖς μὲν χρυσίον ἱερὸν σεσυλημένον καὶ ἐν τῷ Παρνασσῷ κατορωρυγμένον ἀνίχνευσεν ὁ λύκος. Σαμίοις δὲ καὶ αὐτοῖς τοιοῦτο χρυσίον κλαπὲν πρόβατον ἀνεῦρε, καὶ ἐντεῦθεν Μανδρόβουλος ὁ Σάμιος τῇ Ἥρᾳ πρόβατον ἀνάθημα ἀνῆψεν. Καὶ τὸ μὲν Πολέμων λέγει τὸ πρότερον, τὸ δὲ Ἀριστοτέλης τὸ δεύτερον.

Cf. Ephorus apud Proverbiorum scriptores et apud Suidam, fr. 161 Müll., Clemens Alexandr. Protrept. p. 11: Πρόβατον, ὥς φησιν Εὐφορίων, σέβουσι Σάμιοι, ubi Ἔφορος corrigendum esse videtur.

198 (570).

Schol. Aristoph. Aves 471: Οὐδ' Αἴσωπον πεπάτηκας: Ὅτι τὸν λογοποιὸν Αἴσωπον διὰ σπουδῆς εἶχον. Ἦν δὲ ὁ Αἴσωπος Θρᾷξ, ἠλευθερώθη δὲ ὑπὸ Ἴδμονος τοῦ κωφοῦ. Ἐγένετο δὲ πρῶτον Ξάνθου δοῦλος. Ὁ δὲ κωμικὸς Πλάτων καὶ ἀναβιῶναί φησιν αὐτὸν ἐν τοῖς Λάκωσιν... Διὰ σπουδῆς δὲ εἶχον τὸν Αἴσωπον. Καὶ Ἀριστοτέλης ἐν τῇ Σαμίων Πολιτείᾳ εἰπόντα φησὶν αὐτὸν μῦθον ηὐδοκιμηκέναι.

Eadem iisdem fere verbis in Heracl. Excerpt. p. 15, 10: Αἴσωπος δὲ ὁ λογοποιὸς εὐδοκίμει τότε. Ἦν δὲ Θρᾷξ τὸ γένος, ἠλευθερώθη δὲ ὑπὸ Ἴδμονος τοῦ κωφοῦ. Ἐγένετο δὲ πρῶτον τοῦ Ξάνθου δοῦλος. Cf. præterea Aristot. Rhet. II, c. 2, § 5 ubi Æsopi fabula quam Samiis narraverat refertur.

199 (571).

Zenob. Prov. VI, 12: Τὸ περὶ Δρῦν σκότος: Ἀριστοτέλης φησὶν ἐν τῇ Σαμίων Πολιτείᾳ Πριηνέων πολλοὺς ὑπὸ Μιλησίων ἀναιρεθῆναι περὶ τὴν χαλουμένην Δρῦν· ὅθεν καὶ τὰς Πριηνείας γυναῖκας ὀμνύναι τὸ περὶ Δρῦν σκότος.

Plenius ex eodem procul dubio fonte hausit Plutarchus Quæst. Gr. c. 20: Τίς ὁ λεγόμενος ἐν Πριήνῃ παρὰ Δρυῒ σκότος; Σάμιοι καὶ Πριηνεῖς πολεμοῦντες ἀλλήλοις τὰ μὲν ἄλλα μετρίως ἐβλάπτοντο καὶ ἔβλαπτον, μάχης δὲ μεγάλης γενομένης χιλίους Σαμίων οἱ Πριηνεῖς ἀπέκτειναν· ἑβδόμῳ δὲ ὕστερον ἔτει Μιλησίοις συμβαλόντες παρὰ τὴν καλουμένην Δρῦν, τοὺς ἀρίστους ὁμοῦ τε καὶ πρώτους ἀπέβαλον τῶν πολιτῶν· ὅτε καὶ Βίας ὁ σοφὸς εἰς Σάμον ἐκ Πριήνης πρεσβεύσας εὐδοκίμησε. Ταῖς δὲ Πριηνέων γυναιξίν, ὁμοῦ τοῦ πάθους τούτου καὶ τῆς συμφορᾶς ἐλεεινῆς γενομένης, ἀρὰ κατέστη καὶ ὅρκος περὶ τῶν μεγίστων· « Ὁ παρὰ τῇ Δρυῒ σκότος » διὰ τὸ παῖδας αὐτῶν καὶ πατέρας καὶ ἄνδρας ἐκεῖ φονευθῆναι. Cf. Bœckh. Corp. Inscriptt. t. II, p. 573, n. 2905.

---

197.

Lupum Delphi colunt, Samii avem venerantur. Ambraciotæ leænam. Causas autem quamobrem hujus modi bestias divini cultus honore prosequantur, non alienum est explicare. Delphis aurum sacrum furto direptum et in Parnasso defossum sicut dicit Polemo, investigavit lupus, Samiis item aurum furto sublatum ovis invenit: quare Mandrobulus Samius Junoni ovem consecravit, ut Aristoteles tradit.

198.

Erat Æsopus Thrax genere, libertate donatus est ab Idmone homine bardo. Primum fuerat servus Xanthi. Aristoteles in Samiorum Republica Æsopum fabulas narrantem inclaruisse dicit.

199.

Aristoteles in Republica Samiorum dicit magnum Prienensium numerum ab Milesiis occisum esse prope locum quem Quercum vocant atque hinc Prienenses mulieres per tenebras apud Quercum jurare.

*Quid sibi volunt tenebræ apud Quercum, quæ Prienæ memorantur?* Samii et Prienenses, bello commisso, mediocribus invicem damnis se affecerunt: magno autem prælio commisso Prienenses mille Samios trucidaverunt; septimo vero anno post cum Milesiis pugna congressi ad locum qui Quercus dicitur, optimos primosque civium amiserunt: quo tempore Bias Priene in Samum missus legatus claruit. Quum autem Prienenses mulieres calamitas hæc graviter perculisset, exsecratio et jusjurandum maximis de rebus constitutum est *per tenebras apud Quercum*: quod ibi liberi, parentes virique earum mortem oppetiissent.

200 (572).

Plutarch. Vit. Pericl. c. 26 : Ἅμα δὲ τῇ νίκῃ καὶ τῇ διώξει τοῦ λιμένος κρατήσας (ὁ Περικλῆς scil.) ἐπολιόρκει τοὺς Σαμίους... Ἐπεὶ δὲ μείζων ἕτερος στόλος ἦλθεν ἐκ τῶν Ἀθηνῶν καὶ παντελῶς κατεκλείσθησαν οἱ Σάμιοι, λαβὼν ὁ Περικλῆς ἑξήκοντα τριήρεις ἔπλευσεν εἰς τὸν ἔξω πόντον, ὡς μὲν οἱ πλεῖστοι λέγουσι, Φοινισσῶν νεῶν ἐπικούρων τοῖς Σαμίοις προσφερομένων ἀπαντῆσαι καὶ διαγωνίσασθαι πορρωτάτω βουλόμενος, ὡς δὲ Στησίμβροτος ἐπὶ Κύπρον στελλόμενος· ὅπερ οὐ δοκεῖ πιθανὸν εἶναι. Ὁποτέρῳ δ' οὖν ἐχρήσατο τῶν λογισμῶν ἁμαρτεῖν ἔδοξε. Πλεύσαντος γὰρ αὐτοῦ Μέλισσος ὁ Ἰθαγένους, ἀνὴρ φιλόσοφος, στρατηγῶν τότε τῆς Σάμου, καταφρονήσας τῆς ὀλιγότητος τῶν νεῶν ἢ τῆς ἀπειρίας τῶν στρατηγῶν ἔπεισε τοὺς πολίτας ἐπιθέσθαι τοῖς Ἀθηναίοις. Καὶ γενομένης μάχης νικήσαντες οἱ Σάμιοι καὶ πολλοὺς μὲν αὐτῶν ἄνδρας ἑλόντες πολλὰς δὲ ναῦς διαφθείραντες ἐχρῶντο τῇ θαλάσσῃ καὶ παρετίθεντο τῶν ἀναγκαίων πρὸς τὸν πόλεμον ὅσα μὴ πρότερον εἶχον. Ὑπὸ δὲ τοῦ Μελίσσου καὶ Περικλέα φησὶν αὐτὸν Ἀριστοτέλης ἡττηθῆναι ναυμαχοῦντα πρότερον. Οἱ δὲ Σάμιοι τοὺς αἰχμαλώτους τῶν Ἀθηναίων ἀνθυβρίζοντες ἔστιζον εἰς τὸ μέτωπον γλαῦκας· καὶ γὰρ ἐκείνους οἱ Ἀθηναῖοι σάμαιναν. Ἡ δὲ σάμαινα ναῦς ἐστιν ὑόπρωρος μὲν τὸ σίμωμα, κοιλοτέρα δὲ καὶ γαστροειδής, ὥστε καὶ φορτοφορεῖν καὶ ταχυναυτεῖν. Οὕτω δ' ὠνομάσθη διὰ τὸ πρῶτον ἐν Σάμῳ φανῆναι, Πολυκράτους τυράννου κατασκευάσαντος. Πρὸς ταῦτα τὰ στίγματα λέγουσι καὶ τὸ Ἀριστοφάνειον ᾐνίχθαι·

Σαμίων ὁ δῆμός ἐστιν ὡς πολυγράμματος.

Aliam hujus proverbii, cujus Aristophanes in Babyloniis meminerat, Aristoteles dederat explicationem de qua vide sequens fragmentum. Ceterum Aristotelem de toto hoc bello inter Samios et Athenienses uberius egisse, Plutarchi verba testantur c. 28 : Δοῦρις δ' ὁ Σάμιος τούτοις ἐπιτραγῳδεῖ πολλὴν ὠμότητα τῶν Ἀθηναίων καὶ τοῦ Περικλέους κατηγορῶν, ἣν οὔτε Θουκυδίδης ἱστόρηκεν οὔτ' Ἔφορος οὔτ' Ἀριστοτέλης.

201 (573).

Photius s. v. Σαμίων ὁ δῆμος ὡς πολυγράμματος : Ἀριστοφάνης Βαβυλωνίοις, ἐπισκώπτων τοὺς ἐστιγμένους. Οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων, σπάνει τῶν πολιτευομένων ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων Πολιτείᾳ· ἢ ὅτι παρὰ Σαμίοις εὑρέθη πρώτοις τὰ κδ' γράμματα ὑπὸ Καλλιστράτου, ὡς Ἄνδρων ἐν Τρίποδι... Θεόπομπος. Οἱ δὲ ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολέμῳ ἔστιζον γλαυκί, Σάμιοι δὲ σαμαίνῃ· ἡ δὲ σαμαίνη πλοῖον δίκροτον ὑπὸ Πολυκράτους πρῶτον κατασκευασθὲν τοῦ Σαμίων τυράννου, ὡς Λυσίμαχος ἐν β' Νόστων. Τὸ δὲ πλάσμα Δούριδος.

Eadem Suidas s. v. et Apostolius Prov. XV, 32. Cf. Hesychius s. v.

## ΣΑΜΟΘΡΑΚΩΝ.

202 (574).

Schol. Apollonii Rhod. I, 917 : Ἀρρήκτους ἀγα-

200.

Pericles victor hostes insecutus, simul et portum occupavit et Samios obsedit... Sed postquam alia classis major Athenis venit, undique jam septis Samiis, cum triremibus sexaginta mare exterius petiit, ut Phœnicum navibus, sic enim major pars auctorum putant, auxilio Samiis venientibus occurreret, ac quam longissime ab insula pugnaret. Stesimbrotus eum in Cyprum navigare voluisse ait, quod non videtur verisimile : utracunque ejus fuerit ratio, constat in eo peccasse ipsum. Avecto enim Pericle Melissus Ithagenis filius, philosophus, tunc Samiorum prætor, sive ob navium paucitatem, sive ob ducum imperitiam contemptis hostibus, suis persuasit, ut Athenienses adorirentur : factoque prælio, Samii victoria potiti sunt multis hostium captis, multis navibus perditis, et deinde mare tenentes, ad bellum necessaria, quibus antea caruerant, advexerunt. Ipsum quoque Periclem ante prælio navali victum fuisse a Melisso, Aristoteles scribit. Porro Samii ut ignominiam acceptam Atheniensibus reponerent, captivis in frontem incussere noctuam, sicut Athenienses ipsis prius Samænam. Samæna navigii est genus, cujus prora suilli rostri instar curvata est, concava autem magis et ventricosa, ut et oneribus vehendis accommodata sit et celeriter currat : sic dicta quod in Samo primum visa sit, a Polycrate tyranno parata. Eas notas ferunt et Aristophanem per ambages indicasse hoc versu : Quam litteratus populus incolæ Sami.

201.

*Samiorum populus ut multilitteratus.* Aristophanes in Babyloniis, deridens notis compunctos. Samii enim a tyrannis ad incitas redacti, ob civium penuriam servorum frontibus jus civitatis quinque stateribus venale inscripserunt, ut Aristoteles tradit in Samiorum Republica; vel quia apud Samios XXIV litteræ primum inventæ fuerunt a Callistrato, ut Andron in Tripode... Theopompus. Alii vero, quod Athenienses Samios captivos signo noctuæ notarint, Samii vero Athenienses Samæna. Est autem Samæna navigium bireme, a Polycrate tyranno Samiorum primum fabricatum, ut ait Lysimachus libro secundo Nostorum. Hoc autem commentum est Duridis.

SAMOTHRACUM.

202.

Samothrace olim Leucosia appellabatur, uti narrat

νῆσι: Τὰς τελετὰς λέγει τὰς ἐν Σαμοθρᾴκῃ ἀγομένας... Ἡ δὲ Σαμοθρᾴκη ἐκαλεῖτο πρότερον Λευκωσία, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Σαμοθρᾴκης Πολιτείᾳ. Ὕστερον δὲ ἀπὸ Σάου τοῦ Ἑρμοῦ καὶ Ῥήνης παιδὸς Σάμος προσωνομάσθη κατὰ παρένθεσιν τοῦ μ. Θρᾳκῶν δὲ οἰκησάντων αὐτὴν ἐκλήθη Σαμοθρᾴκη.

Heraclides Excerpt. p. 19, 13: Σαμοθρᾴκης: Ἡ Σαμοθρᾴκη τὸ μὲν ἐξ ἀρχῆς ἐκαλεῖτο Λευκανία, διὰ τὸ λευκὴ εἶναι· ὕστερον δέ, Θρᾳκῶν κατασχόντων, Θρᾳκία. Τούτων δὲ ἐκλιπόντων ὕστερον ἔτεσιν ἑπτακοσίοις Σάμιοι κατῴκισαν αὐτὴν ἐκπεσόντες τῆς οἰκείας, καὶ Σαμοθρᾴκην ἐκάλεσαν.

Tertiam formam nominis Λευκωσία sive Λευκόσια, ut in Scholiis Apollonii Rhodii legitur, præbent Schol. ad Iliad. ω, 78 (cf. Eustath. ad Iliad. p. 1340, 14): Σάμου: Τῆς νῦν Σαμοθρᾴκης. Σάμους δὲ τοὺς λόφους ἔλεγον. Ἐκαλεῖτο δὲ Λευκωνία (vitiose pro Λευκωσία), εἶτα οἰκισθεῖσα ὑπὸ Σαμίων, ὧν τὰ σκάφη οἱ αἰχμάλωτοι Θρᾷκες κατέδυσαν, Σαμοθρᾴκη ὠνόμασται. Eustath. ad Il. l. l.: ὧν τὰ σκάφη αὐτόθι αἰχμάλωτοι Θρῇσσαι κατέκαυσαν, Σ. ὠνόμ. Cf. Schol. Il. v. 12 et Eustath. ad Il. p. 917.

## ΣΙΚΥΩΝΙΩΝ.

203 (575).

Pollux IX, 77: Τὸ μέντοι τῶν ὀβολῶν ὄνομα οἱ μὲν ὅτι πάλαι βουπόροις ὀβελοῖς ἐχρῶντο πρὸς τὰς ἀμοιβάς, ὧν τὸ ὑπὸ τῇ δρακὶ πλῆθος ἐδόκει καλεῖσθαι δραχμή, τὰ δ' ὀνόματα καὶ τοῦ νομίσματος μεταπεσόντος εἰς τὴν νῦν χρείαν ἐνέμεινεν ἐκ τῆς μνήμης τῆς παλαιᾶς· Ἀριστοτέλης δὲ ταὐτὸν λέγων ἐν Σικυωνίων Πολιτείᾳ σμικρόν τι καινοτομεῖ, ὀφελοὺς αὐτοὺς τέως ὠνομάσθαι λέγων, τοῦ μὲν ὀφέλλειν δηλοῦντος τὸ αὔξειν, αὐτῶν δὲ διὰ τὸ εἰς μῆκος ηὐξῆσθαι ὧδε κληθέντων. Ὅθεν καὶ τὸ ὀφείλειν ὠνομάσθαι φησὶν οὐκ οἶδ' ὅπως· ἐπὶ μέντοι τῶν ὀβελῶν ὑπηλλάχθαι τὸ φ εἰς τὸ β κατὰ συγγένειαν.

Plutarch. V. Lysandri c. 17: Τοῦτο δὲ (τὸ πάτριον τῶν Λακεδαιμονίων νόμισμα scil.) ἦν σιδηροῦν... κινδυνεύει δὲ καὶ τὸ πάμπαν ἀρχαῖον οὕτως ἔχειν, ὀβελίσκοις χρωμένων νομίσμασι σιδηροῖς, ἐνίων δὲ χαλκοῖς· ἀφ' ὧν παραμένει πλῆθος ἔτι καὶ νῦν τῶν κερμάτων ὀβολοὺς καλεῖσθαι, δραχμὴν δὲ τοὺς ἓξ ὀβολούς· τοσούτων γὰρ ἡ χεὶρ περιεδράττετο. Cf. Eustath. ad. Iliad. p. 136, 4, 421, 27. Etymol. M. p. 613, 1. Etymol. Gud. s. v. Ὀβελίσκος.

## (ΣΙΝΩΠΕΩΝ.)

204 (576).

Schol. Apollonii Rhod. II, 946: ἔνθα Σινώπη... Ἐν δὲ τοῖς Ὀρφικοῖς Ἄρεως καὶ Αἰγίνης γενεαλογεῖται (ἡ Σινώπη scil.), κατὰ δέ τινας Ἄρεως καὶ Παρνάσσης· κατ' Εὔμηλον καὶ Ἀριστοτέλη Ἀσωποῦ. Καὶ οὗτος μέν φησιν ὅτι Ἅλυν τε τὸν ποταμὸν ἐπλάνησε καὶ Ἀπόλλωνα καὶ Δία, αἰτησαμένη παρ' αὐτῶν πρότερον ἵν' ἐπιτύχοι οὗ ἂν θέλοι, ἔπειτα εἰποῦσα παρθενίας ὀρέγεσθαι, ταύτης ἐπέτυχεν ὡς ἂν ὅρκῳ δεδεμένων αὐτῶν. Φιλοστέφανος δέ φησι τοὐναντίον Ἀπόλλωνι αὐτὴν μιγεῖσαν ἀποκυῆσαι τὸν προσαγορευθέντα Σύρον. Cf. Diodorus Sic. IV, 72. Plutarch. V. Luculli c. 23.

## ΣΥΒΑΡΙΤΩΝ.

205 (577).

Athen. XII, p. 520, C: Εἰς τηλικοῦτον δ' ἦσαν τρυφῆς ἐληλακότες (οἱ Συβαρῖται scil.), ὡς καὶ παρὰ τὰς εὐωχίας τοὺς ἵππους ἐθίσαι πρὸς αὐλὸν ὀρχεῖσθαι. Τοῦτ' οὖν εἰδότες οἱ Κροτωνιᾶται ὅτε αὐτοῖς ἐπολέ-

---

Aristoteles in Samothracum Republica. Postea de Sao Mercurii et Rheneo filio Samos nuncupata est, interposita litera m. Quum vero Thraces eam jam habitarent, vocata est Samothrace.

### SICYONIORUM.

203.

Quod nomen obolorum attinet, nonnulli dicunt olim longis obelis (quasi verubus quibus figuntur frusta bubula) usos esse in permutationibus; eorum obolorum multitudinem quanta pugillo (δρακὶ) comprehendi posset δραχμὴν appellatam esse; ista vero nomina etiam tum quum hic nummus in præsentem usum transmutatus esset, ex pristina memoria remansisse. Aristoteles vero eadem dicens in Republica Sicyoniorum, non nihil tamen innovat, dum ὀφελοὺς eos (obolos sive obelos) per tempus aliquod appellatos esse dicit: etenim ὀφέλλειν significare *augere*, ab eoque ὀφελλοὺς dictos esse, quod forma eorum in longitudinem se extendens augeatur; ab ὀφέλλειν etiam τὸ ὀφείλειν verbum derivare, nescio quomodo. Ceterum in voce ὀβελὸς literam φ in cognatam literam β abiisse.

### (SINOPENSIUM.)

204.

In Orphicis carminibus Martis et Æginæ filia fuisse Sinope dicitur, apud nonnullos Martis et Parnasses; apud Eumelum et Aristotelem. At hic (*poeta scil.*) quidem narrat eam decepisse et Halyn et Apollinem et Jovem. Petiverat enim ut primum ipsa iis quæ postularet potiretur; postulasse autem dicunt virginitatem, eamque obtinuisse, quum illi juramento obstricti tenerentur. Philostephanus vero contrarium dicit, compressam illam ab Apolline Syrum supra dictum peperisse.

### SYBARITARUM.

205.

Sybaritæ eo progressi erant luxuriæ, ut equos etiam

μουν, ὡς καὶ Ἀριστοτέλης ἱστορεῖ διὰ τῆς Πολιτείας αὐτῶν, ἐνέδοσαν τοῖς ἵπποις τὸ ὀρχηστικὸν μέλος· συμπαρῆσαν γὰρ αὐτοῖς καὶ αὐληταὶ ἐν στρατιωτικῇ σκευῇ. Καὶ ἅμα αὐλούντων ἀκούοντες οἱ ἵπποι οὐ μόνον ἐξωρχήσαντο ἀλλὰ καὶ τοὺς ἀναβάτας ἔχοντες ηὐτομόλησαν πρὸς τοὺς Κροτωνιάτας. Τὰ ὅμοια ἱστόρησε καὶ περὶ Καρδιανῶν ὁ Λαμψακηνὸς Χάρων (fr. 9 Müller).

Narrationem quam ex Athenæo Eustathius in Dionysium Perieg. v. 374 tangit pleniorem atque integriorem nescio unde habet Julius Africanus in Cestis c. 14, p. 293 in Mathemat. veter. ed. Paris. 1693 : Εἰς τοῦτό ποτε ἐλάσαι τρυφῆς Συβαρίτας λόγος ὡς παρὰ δεῖπνον εἰς τὸ συμπόσιον αὐτοὺς (scil. ἵππους) εἰσάγειν, τοὺς δ' ἀκούσαντας αὐλήματος ἀνίστασθαι ἐπὶ τὼ πόδε καὶ τοῖς προσθίοις ὥσπερ χειρονομοῦντας ὀρχεῖσθαι. Ὑβρισθέντα δὲ αὐλητὴν εἰς Κροτωνιάτας αὐτομολῆσαι προσφάτως ἱππομαχίᾳ νενικημένους, μέγιστα δὲ ὠφελήσειν τὸ κοινὸν ἐπαγγείλασθαι· παραδώσειν γὰρ πᾶν τὸ Συβαριτικὸν ἱππικὸν αἰχμάλωτον. Πιστεῦσαι τοὺς Κροτωνιάτας αὐτῷ καὶ ἐπιτρέψαι στρατηγεῖν, τὸν δὲ αὐλήσαντα τοῖς τῆς πόλεως αὐληταῖς δεῖξαι τὸ μέλος καὶ ὅτε καιρὸς ἦν παρεγγυῆσαι τὴν ἐπὶ τοὺς πολεμίους ἔξοδον. Ὡς δὲ οἱ Συβαρῖται ἐπῆλθον πανδημεὶ πολύ τι φρυαττόμενοι τῇ τῆς ἵππου περιουσίᾳ καὶ ἀνεμίγησαν αἱ φάλαγγες, ὑπὸ σημεῖον ἐν ηὔλησαν οἱ πάντες, συνήθους δὲ ἤχου ἀκούσαντες οἱ ἵπποι ὥσπερ οἴκοι ἐδιδάσκετο ἀποσεισάμενοι τοὺς ἀναβάτας ὑπωρχοῦντο πάντες. Τότε οὖν οἱ ἱππόται ἑάλωσαν κείμενοι καὶ οἱ ἵπποι ἐλήφθησαν ὀρχούμενοι, ἀναστησάντων αὐτοὺς συνήθων μελῶν.

206 (578).

Athen. XII, p. 523, C : Καὶ οἱ τὴν Σῖριν δὲ κατοικοῦντες, ἣν πρῶτοι κατέσχον οἱ ἀπὸ Τροίας ἐλθόντες, ὕστερον δ' ὑπὸ Κολοφωνίων, ὥς φησι Τίμαιος καὶ Ἀριστοτέλης, εἰς τρυφὴν ἐξώκειλαν οὐχ ἧσσον Συβαριτῶν. Καὶ γὰρ ἰδίως παρ' αὐτοῖς ἐπεχωρίασε φορεῖν ἀνθινοὺς χιτῶνας, οὓς ἐζώννυντο μίτραις πολυτελέσι· καὶ ἐκαλοῦντο διὰ τοῦτο ὑπὸ τῶν περιοίκων μιτροχίτωνες, ἐπεὶ Ὅμηρος τοὺς ἀζώστους ἀμιτροχίτωνας καλεῖ (Il. π, 419). Sedes fragmenti incerta. De communibus Siritarum et Sybaritarum rebus contra Tarentinos conferri potest Strabo VI, p. 264, 265. Ad Rempublicam Crotoniatarum locum retulerunt Schweighæuserus et Neumannus. Cf. Justin. XX, 2.

## ΣΥΡΑΚΟΥΣΙΩΝ.

207 (579).

Pollux VI, 16 : Καί που καὶ (ἐστὶν οἶνος scil.) γλυκὺς Πόλλιος· ἔστι μὲν ἐκ Συρακουσῶν, Πόλλις δ' αὐτὸν ὁ Ἀργεῖος πρῶτος ἐπεσκεύασεν, ἀφ' οὗ καὶ τοὔνομα, ἢ ἀπὸ τοῦ Συρακουσίων βασιλέως Πόλλιδος, ὡς Ἀριστοτέλης λέγει.

Cf. Athenæi Epit. I, p. 31, B : Ἣν (τὴν Βιβλίνην ἄμπελον scil.) Πόλλιν τὸν Ἀργεῖον, ὃς ἐβασίλευσε Συρακουσίων, πρῶτον εἰς Συρακούσας κομίσαι (φασὶν) ἐξ Ἰταλίας· εἴη ἂν οὖν ὁ παρὰ Σικελιώταις γλυκὺς καλούμενος Πόλλιος ὁ Βίβλινος οἶνος. Etym. Magn. p. 197, 32 : Βίβλινος οἶνος : οἷον. « ὕδωρ δὲ πίνει, τὸν δὲ Βίβλινον στυγεῖ. » Ἀπὸ Βιβλίνης οὕτω καλουμένης Θρᾳκίας ἀμπέλου, ἥτις διὰ τὸ εὐθαλὴς εἶναι ἐν Ἑλλάδι, μετετέθη καὶ ἐν Σικελίᾳ ὑπὸ Πόλλιδος τοῦ Σικυωνίου (male pro Συρακουσίου) τυράννου· ἔνθεν αὐτήν τινες καὶ Πόλλιον καλοῦσιν. Ælianus Var. Histor. XII, 31 : Καὶ ἐν Συρακούσαις Πόλλιος· ἐκλήθη δὲ ἀπό τινος ἐγχωρίου βασιλέως.

208 (580).

Photius s. v. Καλλικύριοι : Οἱ ἀντὶ τῶν γεωμόρων ἐν Συρακούσαις γενόμενοι, πολλοί τινες τὸ πλῆθος. Δοῦλοι δ' ἦσαν οὗτοι τῶν φυγάδων, ὡς Τίμαιος ἐν ς'· ὅθεν τοὺς ὑπερβολῇ πολλοὺς καλλικυρίους ἔλεγον. Ὠνομάσθησαν δὲ ἀπὸ τοῦ εἰς ταὐτὸ συνελθεῖν

---

assuefecerint inter ipsorum epula saltare ad tibiæ cantum. Id igitur quum nossent Crotoniatæ, quo tempore bellum illis inferebant, ut narrat etiam Aristoteles ubi de eorum Republica verba facit, tibicines jusserant modos saltatorios præcinere equis. Aderant enim ipsis tibicines militari cultu. Et simul atque illos canentes audivere equi non modo cœperunt saltare, verum etiam simul cum sessoribus ad Crotoniatas transfugerunt. Similem rem et de Cardianis Charon Lampsacenus narrat.

206.

Qui Sirin habitant, quam tenuerant primum qui e Troja venerunt, deinde Colophonii, ut ait Timæus et Aristoteles, in luxuriam mollitiemque prolapsi sunt nihilo minorem quam quæ Sybaritarum fuit. Apud illos enim proprius mos fuit floridas gestare tunicas, quas pretiosis mitris cingebant : quare a finitimis μιτροχίτωνες appellabantur, quum discinctos Homerus ἀμιτροχίτωνας vocet.

SYRACUSANORUM.

207.

Est etiam vinum dulce Pollium. Invenitur apud Syracusanos; Pollis Argivus primum illud fecit, a quo etiam nomen habet, sive a Pollide rege Syracusanorum, ut Aristoteles dicit.

208.

Callicyrii. Hi geomororum Syracusis locum occuparunt; quorum ingens erat multitudo : iidem autem exsulum erant servi, ut auctor est Timæus libro VI; unde

παντοδαποὶ ὄντες, ὡς Ἀριστοτέλης ἐν Συρακουσίων Πολιτείᾳ, ὅμοιοι τοῖς παρὰ Λακεδαιμονίοις εἵλωσι καὶ παρὰ Θεσσαλοῖς πενέσταις καὶ παρὰ Κρησὶ κλαρώταις. Eadem Suidas s. v.

Zenobius Prov. IV, 54 : Καλλικυρίων πλείους : Οὕτως ἐν Συρακούσαις ἐκλήθησαν οἱ ἐπεισελθόντες γεωμόροις καλλικύριοι. Ἔνθεν παροιμιωδῶς ἔλεγον, εἴποτε πλῆθος ἤθελον ἐμφῆναι, ὅτι πλείους ἦσαν τῶν καλλικυρίων. Δοῦλοι δὲ ἦσαν οὗτοι καὶ τοὺς κυρίους ἐξέβαλον. Ἡ δὲ αἰτία τῆς κλήσεως αὐτῶν διὰ τὸ παντοδαποὺς εἰς ταὐτὸ συνελθεῖν ὥστε τοῖς κυρίοις ἐγχεῖσθαι. Brevius Hesychius s. v. Κιλλικύριοι : Οἱ ἐπεισελθόντες γεωμόροις. Δοῦλοι δὲ ἦσαν οὗτοι καὶ τοὺς κυρίους ἐξέβαλον, et, cum eadem vocis forma, altera glossa apud Photium s. v. Κιλλικύριοι : Ἐν Συρακούσαις τινὲς ἐκλήθησαν, οἱ ἀντὶ τῶν γεωμόρων μέρος καταλαβόντες τοῦ πολιτεύματος, οἷον εἵλωτες καὶ πενέσται τινές. Cf. idem s. v. Κλαρῶται, Etymol. Gud. p. 165, Eustath. in Il. p. 295, 30, quem locum emendavit Ruhnken. ad Timæum p. 214.

209 (581).

Schol. Pind. Pyth. I, 89, Αὐτὸν δὲ τὸν Ἱέρωνα ἐν τῇ τῶν Συρακουσίων Πολιτείᾳ (φησὶν Ἀριστοτέλης) δυσουρίᾳ δυστυχῆσαι. Cf. supra ad Geloorum Rempublicam.

210 (582).

Athen. X, p. 435, E : Ἀριστοτέλης δ' ἐν τῇ Συρακουσίων Πολιτείᾳ καὶ συνεχῶς φησιν αὐτὸν (τὸν Διονύσιον τὸν νεώτερον scil.) ἔσθ' ὅτε ἐπὶ ἡμέρας ἐνενήκοντα μεθύειν· διὸ καὶ ἀμβλυωπότερον γενέσθαι τὰς ὄψεις.

Cf. Plutarch. V. Dionis, c. 7 : Κατὰ μικρὸν ἡ περὶ τὸ μειράκιον ἄνεσις τοὺς ἀδαμαντίνους δεσμοὺς ἐκείνους (cf. Ælian. Var. Hist. VI, 12), οἷς ὁ πρεσβύτερος Διονύσιος ἔφη δεδεμένην ἀπολείπειν τὴν μοναρχίαν, ἐξέτηξε καὶ διέφθειρεν. Ἡμέρας γάρ, ὥς φησιν, ἐνενήκοντα συνεχῶς ἔπινεν ἀρξάμενος, καὶ τὴν αὐλὴν ἐν τῷ χρόνῳ τούτῳ... μέθαι καὶ σκώμματα... κατεῖχον. Cf. Aristot. Polit. V, 8, 14. Justin. XXI, 2. Meinekius in *Exercit. in Athenæum, Specimine altero*, p. 19, conjecit pro ἐνενήκοντα Aristotelem ἐννέα scripsisse. Cf. idem, in *Analectis ad Athenæum*, Lips. 1867, p. 197.

211 (583).

Pollux IX, 85 : Τοῦτό γε μὴν οὐκ ἄκαιρον, ὅτι τὸ μὲν Ἀττικὸν τάλαντον ἑξακισχιλίας ἐδύνατο δραχμὰς Ἀττικάς... Τὸ μέντοι Σικελικὸν τάλαντον ἐλάχιστον ἴσχυεν, τὸ μὲν ἀρχαῖον, ὡς Ἀριστοτέλης λέγει, τέτταρας καὶ εἴκοσι τοὺς νούμμους, τὸ δὲ ὕστερον δυοκαίδεκα. Δύνασθαι δὲ τὸν νοῦμμον τρία ἡμιωβόλια.

Ultima ex Apollodori Commentariis in Sophronis Mimos desumpta esse videntur, cf. Schol. Iliad. ε, 576, p. 167, A, 7 Bekk. : Παρὰ δὲ Σικελιώταις τὸ μὲν ἀρχαῖον (τὸ τάλαντον) ἦν μνῶν κδ' νῦν δὲ β'. Δύναται δὲ εἶναι τρία ἡμιωβόλια, ὡς ἐν τοῖς περὶ Σώφρονος Ἀπολλόδωρος, ubi μνῶν e νόμων corruptum esse putat Ahrens. *De dialecto Dorica*, Gotting. 1843 p. 390, cui item probabilius videtur Aristotelem non νοῦμμος sed νόμος scripsisse. Cf. H. Steph. Thesaur. ed. Didot. s. v. Νόμος, et de re Bœckh, *Metrologische Untersuchungen*, p. 310 sqq.

ΤΑΡΑΝΤΙΝΩΝ.

212 (584).

Pollux IX, 80 : Ὁ δὲ νοῦμμος... ἔστι δὲ Ἑλληνικὸν καὶ τῶν ἐν Ἰταλίᾳ καὶ Σικελίᾳ Δωριέων.

---

Callicyrii in significationem maximæ hominum multidinis evaluerant. Sic autem vocati sunt, quod ex variis locis confluxerant, et Aristoteles in Syracusanorum Republica tradit. Similes erant Lacedæmoniorum Helotibus, Thessalorum Penestis, Cretensium Clarotis.

209.

Ipsum Hieronem urinæ difficultate laborasse refert Aristoteles in Syracusanorum Republica.

210.

Aristoteles in Syracusanorum Republica dicit Dionysium juniorem nonnunquam per nonaginta continuos dies ebrium fuisse : eoque etiam hebetatum illi oculorum usum.

211.

Hoc autem non omittendum quod Atticum talentum sex mille Atticas drachmas faciebat... Talentum quidem Siculum quam minime valuit. Vetus quidem, ut Aristoteles tradit, viginti quattuor nummos. Posterius vero duodecim. Valere autem duos obolos et semissem.

TARENTINORUM.

212.

Nummus vero... græcus est et Doriensium in Italia et Sicilia. Epicharmus enim illius mentionem fecit in Χύτραις... et Aristoteles in Tarentinorum Republica monetam apud eos appellari nummum dicit, in quo excusus est Taras Neptuni filius, delphino insidens.

Ἐπίχαρμός τε γὰρ ἐν ταῖς Χύτραις φησὶν... καὶ Ἀριστοτέλης ἐν τῇ Ταραντίνων Πολιτείᾳ καλεῖσθαί φησι νόμισμα παρ' αὐτοῖς νοῦμμον (immo νόμον, cf. fragm. præcedens), ἐφ' οὗ ἐντετυπῶσθαι Τάραντα τὸν Ποσειδῶνος δελφῖνι ἐποχούμενον.

Cf. Pausanias X, 13, 5.

## ΤΕΓΕΑΤΩΝ.

### 213 (585).

Schol. Apollonii Rhod. IV, 264 : Ἀρκάδες οἳ καὶ πρόσθεν : Οἱ Ἀρκάδες δοκοῦσι πρὸ τῆς σελήνης γεγονέναι, ὡς καὶ Εὔδοξος ἐν γῆς Περιόδῳ... Μνασέας δέ φησι Προσέληνον Ἀρκάδων βασιλεῦσαι. Ἀριστοτέλης δὲ ἐν τῇ Τεγεατῶν Πολιτείᾳ φησὶν ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν, οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν Ἀρκάδων ἐπιθεμένων αὐτοῖς πρὸ τοῦ ἐπιτεῖλαι τὴν σελήνην, διὸ κατωνομάσθησαν προσέληνοι.

Exscripsit Scholiastem Eudocia Viol. p. 438.

### 214 (586).

Plutarch. Quæst. Græc. c. 5 : Τίνες οἱ παρὰ Ἀρκάσι καὶ Λακεδαιμονίοις χρηστοί; Λακεδαιμόνιοι Τεγεάταις διαλλαγέντες ἐποιήσαντο συνθήκας καὶ στήλην ἐπ' Ἀλφειῷ κοινὴν ἀνέστησαν, ἐν ᾗ μετὰ τῶν ἄλλων γέγραπται Μεσσηνίους ἐκβαλεῖν ἐκ τῆς χώρας καὶ μὴ ἐξεῖναι χρηστοὺς ποιεῖν. Ἐξηγούμενος οὖν ὁ Ἀριστοτέλης τοῦτό φησι δύνασθαι τὸ μὴ ἀποκτιννύναι βοηθείας χάριν τοῖς λακωνίζουσι τῶν Τεγεατῶν.

Eandem rem iterum tangit Plutarchus Quæst. Rom. c. 52 : Διὰ τί τῇ καλουμένῃ Γενείτῃ Μάνῃ κύνα θύουσι, καὶ κατεύχονται μηδένα χρηστὸν ἀποβῆναι τῶν οἰκογενῶν;... Ἢ διὰ τὸ χρηστοὺς κομψῶς λέγεσθαι τοὺς τελευτῶντας, αἰνιττόμενοι διὰ τῆς εὐχῆς, αἰτοῦνται μηδένα τῶν συνοίκων ἀποθανεῖν; Οὐ δεῖ δὲ τοῦτο θαυμάζειν· καὶ γὰρ Ἀριστοτέλης ἐν ταῖς Ἀρκάδων πρὸς Λακεδαιμονίους συνθήκαις γεγράφθαι φησί, μηδένα χρηστὸν ποιεῖν βοηθείας χάριν τοῖς λακωνίζουσι τῶν Τεγεατῶν, ὅπερ εἶναι, μηδένα ἀποκτιννύναι.

Fortasse huc referenda est glossa Hesychii : Χρηστοί : Οἱ καταδεδικασμένοι, χρήσιμοι.

## ΤΕΝΕΔΙΩΝ.

### 215 (587).

Stephanus Byzant. s. v. Τένεδος, νῆσος τῶν Σποράδων... Ἐκαλεῖτο δὲ Λεύκοφρυς... καὶ παροιμία Τενέδιος αὐλητής, ἐπὶ τῶν τὰ ψευδῆ μαρτυρούντων. Τὸν γὰρ αὐλητὴν ἡ Φυλονόμη πρὸς Κύκνον ἤγαγε μαρτυροῦντα ὅτι Τένης αὐτὴν ἤθελε βιάσασθαι. Ἔστι καὶ ἑτέρα παροιμία Τενέδιος πέλεκυς, ἐπὶ τῶν ἤτοι πικρῶς ἢ καὶ μᾶλλον συντόμως ἀποκοπτόντων τὰ ζητήματα καὶ τὰ ἄλλα πράγματα. Καί φησιν Ἀριστείδης καὶ ἄλλοι τὸν ἐν Τενέδῳ Ἀπόλλωνα πέλεκυν κρατεῖν διὰ τὰ συμβάντα τοῖς περὶ Τένην. Ἢ μᾶλλον, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Τενεδίων Πολιτείᾳ, ὅτι βασιλεύς τις ἐν Τενέδῳ νόμον ἔθηκε τὸν καταλαμβάνοντα μοιχοὺς ἀναιρεῖν πελέκει ἀμφοτέρους. Ἐπειδὴ δὲ συνέβη τὸν υἱὸν αὐτοῦ καταληφθῆναι μοιχόν, ἐκύρωσε καὶ περὶ τοῦ ἰδίου παιδὸς τηρηθῆναι τὸν νόμον καὶ ἀναιρεθέντος εἰς παροιμίαν παρῆλθε τὸ πρᾶγμα ἐπὶ τῶν ὠμῶς πραττομένων. Διὰ τοῦτό φησι καὶ ἐπὶ τοῦ νομίσματος τῶν Τενεδίων κεχαράχθαι ἐν μὲν τῷ ἑτέρῳ μέρει πέλεκυν, ἐπὶ δὲ τοῦ ἑτέρου δύο κεφαλὰς εἰς ὑπόμνησιν τοῦ περὶ τὸν παῖδα παθήματος. Ἔστι καὶ ἄλλη παροιμία Τενέδιος ξυνήγορος, ὁ απότομος καὶ σκληρός.

Heraclid. Excerpt. p. 12,4 : Τένεδος ἡ νῆσος τὸ μὲν ἐξ ἀρχῆς Λεύκοφρυς ἐκαλεῖτο, χρόνῳ δὲ ὕστερον, πρὸ τῶν Τρωικῶν, Τέννης, διενεχθεὶς πρὸς τὸν πα-

---

TEGEATARUM.

213.

Arcades videntur ante lunam natos fuisse, ut et Eudoxus in Terræ circuitu... Mnaseas vero dixit Proselenum regem fuisse Arcadum. Aristoteles in Tegeatarum Republica dicit olim barbaros Arcadiam inhabitasse, qui ejecti sunt ab Arcadibus aggressis eos ante ortum lunæ; hinc Arcadas cognominatos esse Proselenos (*anteluna-rios*).

214.

*Qui sunt apud Arcades et Lacedæmonios* χρηστοί, *id est boni?* Lacedæmonii Tegeatis reconciliati, fœdus pepigerunt et communem columnam ad Alpheum posuerunt; in qua inter alia fœderis capita hoc inscriptum erat : Messenios regione pellunto, neminem bonum faciunto. Hoc Aristoteles interpretans, ait eo significari, Tegeatarum neminem debere interfici, qui auxilii causa Laconicis rebus studeret.

In fœdere Arcadum cum Lacedæmoniis facto scriptum esse Aristoteles testatur : Neminem Tegeatarum debere bonum reddi (id est interfici), si auxilii causâ rebus Lacedæmoniorum studeat.

TENEDIORUM.

215.

Tenedos, una ex Sporadibus insulis... nominabatur Leucophrys... Est etiam proverbium *Tenedius tibicen* de iis qui falsa testantur. Tibicinem enim Phylonome ad Cycnum duxit, qui testabatur Tenem voluisse Phylonomæ vim inferre. Est etiam aliud proverbium *Tenedia securis* de iis qui vel aspere vel nimis concise abscidunt quæstiones et res reliquas. Ac inquit Aristides et alii Tenedium Apollinem securim tenere propter ea quæ acci-

τέρα, συνῴκισεν αὐτήν. Λέγεται δέ, ὡς καταψευσαμένης αὐτοῦ τῆς μητρυιᾶς καὶ καταμαρτυρήσαντος αὐλητοῦ τινος βιάζεσθαι ταύτην, εἰς λάρνακα ἐμβληθεὶς ὑπὸ τοῦ πατρὸς Κύκνου καὶ εἰς θάλασσαν ῥιφεὶς διασωθῆναι πρὸς τὴν νῆσον· διὰ δὲ τὸ καταψεύσασθαι τὸν αὐλητὴν οὐ νόμιμον εἰς τὸ ἱερὸν αὐλητὴν εἰσιέναι. Id. v. 13 : Νόμον δέ τινά φασι τῶν βασιλέων Τενεδίοις θέσθαι, εἴ τις λάβοι μοιχόν, ἀποκτεῖναι τοῦτον πελέκει. Ἁλόντος δὲ τοῦ υἱοῦ αὐτοῦ, καὶ τοῦ λαβόντος ἐρομένου τὸν βασιλέα, τί χρὴ ποιεῖν, ἀποκρίνασθαι, τῷ νόμῳ χρῆσθαι. Καὶ διὰ τοῦτο τοῦ νομίσματος αὐτοῦ ἐπὶ θάτερα πέλεκυς κεχάρακται, ἐπὶ θάτερα δὲ ἐξ ἑνὸς αὐχένος πρόσωπον ἀνδρὸς καὶ γυναικός. Καὶ ἐκ τούτου λέγεται ἐπὶ τῶν ἀποτόμων τό· « Ἀποκεκόφθαι Τενεδίῳ πελέκει. » Apud Photium et Suidam duo seu potius tres exstant glossæ, Τενέδιος ἄνθρωπος, pro Τενέδιος αὐλητής, Τενέδιος ξυνήγορος et Τενέδιος πέλεκυς. Quarum prior quam habet etiam Apostolius Prov. XVI, 25 et Zenobius VI, 9, non magis Aristotelem auctorem secuta videtur quam Schol. Iliad. α, 38 et Plutarch. Quæst. gr. c. 28 : Τί δή ποτε παρὰ Τενεδίοις εἰς τὸ τοῦ Τένου ἱερὸν οὐκ ἔξεστιν αὐλητὴν εἰσελθεῖν οὐδ' Ἀχιλλέως ἐν τῷ ἱερῷ μνησθῆναι; Cf. Diodor. Sic. V, 83. Secunda et tertia in unam coaluerunt : Τενέδιος ξυνήγορος· ἀπότομος. Δύο γὰρ πελέκεις ἐν ἀναθήμασι τιμῶσι Τενέδιοι· καὶ παροιμία· Τενέδιος πέλεκυς· Ἀριστοτέλης μέντοι ὅτι βασιλεὺς Τενέδιος μετὰ πελέκεως δικάζων τὸν ἀδικοῦντα εὐθέως ἀνῄρει. Ἢ ὅτι Ἀσσερῖνα τόπος ἐν Τενέδῳ ἔνθα ποταμίσκος, ἐν ᾧ καρκίνοι τὰ χελώνια διηρθρωμένα ἐπὶ πλεῖον ἔχοντες καὶ πελέκει ἐμφερῆ. Ἢ ὅτι βασιλεύς τις νόμον θεὶς πελέκει τοὺς μοιχοὺς ἄμφω καρατομεῖν· καὶ ἐπὶ τοῦ υἱοῦ ἐτήρησεν τοῦτο· καθὸ καὶ ἐν τῷ νομίσματι ἐφ' οὗ μὲν πέλεκυς, ἐφ' οὗ δὲ δύο πρόσωπα ἐξ ἑνὸς αὐχένος· οἱ δ' ὅτι Τέννης δι' ἃ ἔπαθεν ὑπὸ τῆς μητρυιᾶς μετὰ πελέκεως τὰς φονικὰς ἔκρινε δίκας. Eadem Apostolius Prov. XVI, 26. Aristotelis nomen et hic ex errore in malum locum translatum esse Heraclidis Excerpta et Stephanus satis demonstrant. Secundæ apud Photium explicationis meminit etiam Plutarchus, de Pythiæ Orac. c. 12. Καὶ οἱ Τενέδιοι τὸν πέλεκυν (ἀναθεῖναι λέγονται scil.) ἀπὸ τῶν καρκίνων τῶν γενομένων περὶ τὸ καλούμενον Ἀστέριον (cf. Hesych. Ἀστέριοι· οἱ πρῶτοι τὴν Τένεδον κατοικήσαντες) παρ' αὐτοῖς. Μόνοι γὰρ ὡς ἔοικεν ἐν τῷ χελωνίῳ τύπον πελέκεως ἔχουσιν. Ex eodem quo Stephanus Byz. fonte sua habet Diogenianus Prov. VIII, 58 : Τενέδιος πέλεκυς : Ἐπὶ τῶν πικρῶς ἢ μᾶλλον συντόμως ἀποκοπτόντων τὰς ζητήσεις ἢ καὶ τἄλλα πράγματα. Ἢ ἐπὶ τῶν ὠμῶν νόμων. Νόμον γάρ τις ἔταξε παρ' αὐτοῖς τὸν καταλαβόντα μοιχὸν πελέκει κόπτειν. Cf. Hesych. s. v. Τενέδιον βέλος.

216 (588).

Strabo VIII, p. 380 : Καὶ ἡ Τενέα δ' ἐστὶ κώμη τῆς Κορινθίας, ἐν ᾗ τοῦ Τενεάτου Ἀπόλλωνος ἱερόν... Δοκεῖ δὲ καὶ συγγένειά τις εἶναι Τενεδίοις πρὸς τούτους ἀπὸ Τέννου τοῦ Κύκνου, καθάπερ εἴρηκεν Ἀριστοτέλης· καὶ ἡ τοῦ Ἀπόλλωνος δὲ τιμὴ παρ' ἀμφοτέροις ὁμοία οὖσα δίδωσιν οὐ μικρὰ σημεῖα.

Cf. Pausan. II, 5 de Tenea : Οἱ δὲ ἄνθρωποί φασιν οἱ ταύτῃ Τρῶες εἶναι, αἰχμάλωτοι δὲ ὑπὸ Ἑλλήνων ἐκ Τενέδου γενόμενοι ἐνταῦθα Ἀγαμέμνονος δόντος οἰκῆσαι· καὶ διὰ τοῦτο θεῶν μάλιστα Ἀπόλλωνα τιμῶσι. Hæc fortasse potius ad Corinthiorum Rempublicam referenda erant.

(ΤΗΝΙΩΝ.)

217 (589).

Plinius Hist. Nat. IV, 22, 65 : *Tenos... quam propter aquarum abundantiam* ARISTOTELES *Hydrussam appellatam ait, aliqui Ophiussam.*

Ex eodem fonte Stephan. Byzant. s. v. Τῆνος : Νῆσος Κυκλάς, ἀπὸ οἰκιστοῦ Τήνου. Ἐκλήθη καὶ Ὑδροῦσσα διὰ τὸ κατάρρυτον εἶναι· καὶ Ὀφιοῦσσα, quibus subjungitur locus e Mirab. Auscult. Pseudo-Aristotelis c. 33, qui et ipse fortasse e Republica Teniorum petitus erat.

---

derunt Tennæ, vel potius, ut inquit Aristoteles in Tenediorum Republica, quod rex quidam legem in Tenedo tulerit, qua jubebatur deprehensos adulteros securi utrosque occidi. Quoniam vero accidit ut ipsius filius deprehenderetur in adulterio, jussit etiam ut contra ipsius filium lex servaretur. Eo occiso in proverbium res venit, de iis quæ crudeliter fiunt. Quamobrem inquit et in nummo Tenediorum insculptam fuisse ex una parte securim, ex altera duo capita in memoriam ejus, quod filio acciderat. Est etiam aliud proverbium, *Tenedius advocatus*, qui est severus et durus.

Aristoteles tradit regem Tenedium cum securi jus dicere solitum et injuriæ convictos statim occidisse.

216.

Est et Tenea Corinthii agri pagus, ibique Apollinis Teneatæ templum... videtur etiam cognatio quædam cum Teneatis esse Tenediorum a Tenne Cycni filio, ut Aristoteles tradidit : magnumque ejus rei argumentum Apollinis cultus apud utrosque similis præbet.

## ΤΡΟΙΖΗΝΙΩΝ.

218 (590).

Athen. Epit. I, p. 31, E : Εἴη ἂν οὖν ὁ παρὰ Σικελιώταις γλυκὺς καλούμενος Πόλλιος ὁ Βίβλινος οἶνος. Ἐν τῷ χρησμῷ, φησίν, ὁ θεὸς ηὐτομάτισε·

Πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις,
Οὐδ' ἱερὰν Ὑπέραν, ὅθι κ' ἄτρυγον οἶνον ἔπινες.

Ὠνομάζετο δὲ παρὰ Τροιζηνίοις, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ αὐτῶν Πολιτείᾳ, ἄμπελος Ἀνθηδονιὰς καὶ Ὑπεριὰς ἀπὸ Ἄνθου τινὸς καὶ Ὑπέρου, ὡς καὶ Ἀλθηφιὰς ἀπὸ Ἀλθηφίου τινὸς ἑνὸς τῶν Ἀλφειοῦ ἀπογόνων.

Ex Athenæo, Suidas s. v. Ἀνθηδόνιος (male pro Ἀνθηδονιὰς) et Ἀλθηφιάς. Cf. Zonar. Lexic. p. 126.

219 (591).

Plutarch. Quæst. græc. c. 19 : Τίς ἡ Ἀνθηδὼν περὶ ἧς ἡ Πυθιὰς εἶπε·

Πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις;

Ἡ γὰρ ἐν Βοιωτοῖς οὐκ ἔστι πολύοινος. Τὴν Καλαυρίαν Εἰρήνην τὸ παλαιὸν ὠνόμαζον ἀπὸ γυναικὸς Εἰρήνης, ἣν ἐκ Ποσειδῶνος καὶ Μελανθείας τῆς Ἀλφειοῦ γενέσθαι μυθολογοῦσιν. Ὕστερον δὲ τῶν περὶ Ἄνθην καὶ Ὑπέρην αὐτόθι κατοικούντων, Ἀνθηδονίαν καὶ Ὑπέρειαν ἐκάλουν τὴν νῆσον. Εἶχε δὲ ὁ χρησμὸς οὕτως, ὡς Ἀριστοτέλης φησί·

Πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις
οὐδ' ἱερὰν Ὑπέραν, ὅθι γ' ἄτρυγον οἶνον ἔπινες.

Ταῦτα μὲν ὁ Ἀριστοτέλης. Ὁ δὲ Μνασιγείτων φησὶν Ὑπέρητος ἀδελφὸν ὄντα τὸν Ἄνθον, ἔτι νήπιον ἀπολέσθαι καὶ τὴν Ὑπέρην κατὰ ζήτησιν αὐτοῦ πλανωμένην εἰς Φερὰς πρὸς Ἄκαστον, ἢ Ἄδραστον, ἐλθεῖν, ὅπου κατὰ τύχην ὁ Ἄνθος ἐδούλευεν οἰνοχοεῖν τεταγμένος. Ὡς οὖν εἱστιῶντο, τὸν παῖδα προσφέροντα τῇ ἀδελφῇ τὸ ποτήριον, ἐπιγνῶναι, καὶ εἰπεῖν πρὸς αὐτὴν ἡσυχῇ·

Πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις.

Hæc ut in editione Dübneri scripta sunt dedimus. Wyttenbachius, et post eum Rosius, τὸν Ὑπέρην πλανώμενον τῷ ἀδελφῷ. Cf. Pausanias II, 30 et Strabo VIII, p. 374.

Harpocrat. s. v. Καλαυρία... Νῆσός ἐστι πλησίον Τροιζῆνος, ὡς Ἑκαταῖος ἐν Περιόδῳ τῆς γῆς ἔφη. Ἐκαλεῖτο δὲ πρότερον Εἰρήνη ἡ Καλαυρία καθά φησιν Ἀντικλείδης. Cf. Photius et Suidas. Steph. Byz. s. v. Νησίδιον πρὸς τῇ Κρήτῃ.

220 (592).

Plutarch. V. Thesei c. 3 : Θησέως τὸ μὲν πατρῷον γένος εἰς Ἐρεχθέα καὶ τοὺς πρώτους αὐτόχθονας ἀνήκει, τῷ δὲ μητρῴῳ Πελοπίδης ἦν. Πέλοψ γὰρ οὐ χρημάτων πλήθει μᾶλλον ἢ παίδων μέγιστον ἴσχυσε τῶν ἐν Πελοποννήσῳ βασιλέων, πολλὰς μὲν ἐκδόμενος θυγατέρας τοῖς ἀρίστοις, πολλοὺς δὲ ταῖς πολιτείαις υἱοὺς ἐγκατασπείρας ἄρχοντας· ὧν εἷς γενόμενος Πιτθεὺς ὁ Θησέως πάππος πόλιν μὲν οὐ μεγάλην τὴν Τροιζηνίων ᾤκισε, δόξαν δὲ μάλιστα πάντων ὡς ἀνὴρ λόγιος ἐν τοῖς τότε καὶ σοφώτατος ἔσχεν. Ἦν δὲ

---

### TRŒZENIORUM.

218.

Fuerit igitur dulce illud vinum, quod *Pollium* Siculi appellant, idem atque Biblinum. In oraculo, ut dicunt, deus jussit :

Fæcatum bibe vinum, quia non Anthedone degis,
nec sacra in Hypera, quod ibi sine fæce bibisses.

Apud Trœzenios vero, ut Aristoteles in Republica eorum tradit, nominabatur vitis Anthedonias et Hyperias ab Antho quodam et Hypere, sicuti etiam Althephias ab Althephio quodam, uno ex Alphei posteris.

219.

*Quænam est Anthedon de qua Pythias dixit :*

Fæcatum bibe vinum ut non Anthedone degens?

*Neque enim Bœotiæ Anthedon vini est ferax multi.* Calauria antiquitus dicta fuit Irene a femina Irena, quam fabulantur natam Neptuno et Melanthia Alphei filia. Postmodo quum Anthes et Hyperes cum suis ibi habitarent, insula dicta fuit Anthedonia et Hypereia. Oraculum ut Aristoteles tradit tale fuit :

Fæcatum bibe vinum ut non Anthedone degens,
aut Hyperæ sacræ, quod ibi sine fæce bibisses.»

Hæc Aristoteles. Mnasigiton vero scribit, Anthum Hyperetis fratrem etiamnum infantem fuisse amissum, Hyperemque vagatum ejus quærendi causa, Pheras ad Acastum aut Adrastum venisse, ubi tum forte Anthus servus a poculis erat : hunc in convivio sororem, cui poculum præbebat agnovisse, et clam ei dixisse :

Fæcatum bibe vinum, ut non Anthedone degens.

220.

Thesei genus paternum ad Erechthea et primos indigenas pertingit : maternum ad Pelopem refertur. Pelops enim, non pecuniæ magis vi, quam liberorum, plurimum inter Peloponnesiacos pollebat reges, quod et filias multas summis viris collocasset, et multos filios in civitatum principatum genuisset : ex quibus unus Pittheus Thesei avus oppidum non amplum quidem Trœzeniorum incolis auxit, sed præ omnibus nomen obtinuit docti pro illis temporibus et sapientissimi viri. Erat autem sapientiæ illius talis, ut credere par est, species et vis, quali Hesiodus quum uteretur, celebritatem adeptus est præcipue ex

τῆς σοφίας ἐκείνης τοιαύτη τις, ὡς ἔοικεν, ἰδέα καὶ δύναμις, οἷᾳ χρησάμενος Ἡσίοδος εὐδοκίμει μάλιστα περὶ τὰς ἐν τοῖς Ἔργοις γνωμολογίας. Καὶ μίαν γε τούτων ἐκείνην λέγουσι Πιτθέως εἶναι,

Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω (v. 370).

Τοῦτο μὲν οὖν καὶ Ἀριστοτέλης ὁ φιλόσοφος εἴρηκεν.

Hæc et alibi quam in opere de Rebuspublicis ab Aristotele dici potuisse patet; mallem tamen ad dialogum περὶ Φιλοσοφίας referre, quam, ut a Welckero factum est, *Der epische Cyklus*, p. 49, ad dialogum de Poetis.

## ΦΩΚΕΩΝ.

221 (594).

Clemens Alexandrin. Stromatt. I, p. 144, 15 Sylb. : Ἐξήκεστός τε ὁ Φωκέων τύραννος δύο δακτυλίους φορῶν γεγοητευμένους, τῷ ψόφῳ τῷ πρὸς ἀλλήλους διῃσθάνετο τοὺς καιροὺς τῶν πράξεων. Ἀπέθανεν δ' ὅμως δολοφονηθεὶς καίτοι προσημήναντος τοῦ ψόφου, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Φωκέων Πολιτείᾳ.

Fragmentum manifesto spurium atque in Aristotelem auctorem mala fide scriptum, recentes primi fere post Christum natum seculi Chaldaicasque sapiens superstitiones, declarat Rosius. Non autem video cur Clemens, qui alias non semel e Rebuspublicis fragmenta attulerit, hîc necessario in fraudem inductus fuerit.

## (ΧΑΛΚΗΔΟΝΙΩΝ.)

222 (595).

Plinius Hist. nat. VII, s. 57 : *Longa nave Jasonem primum navigasse Philostephanus auctor est, Hegesias Paralum, Ctesias Semiramim, Archemachus Ægæonem. Biremem Damastes Erythræos fecisse, triremem Thucydides* (I, 13) *Aminoclem Corinthium, quadriremem Aristoteles Carthaginienses, quinqueremem Mnesigiton Salaminios, sex ordinum Xenagoras Syracusios, ab ea ad decemremem Mnesigiton Alexandrum Magnum, ad XII ordines Philostephanus Ptolemæum Soterem, ad quindecim Demetrium Antigoni, ad XXX Ptolemæum Philadelphum, ad XL Ptolemæum Philopatorem qui Tryphon cognominatus est.*

« Cf. Clemens Alexandr. Stromat. I, p. 132 Sylb. : Καρχηδόνιοι δὲ πρῶτοι τετρήρη κατεσκεύασαν, ἐναυπήγησε δὲ αὐτὴν Βόσπορος αὐτοσχέδιον (αὐτόχθων Euseb. ex Clem. et Exc. Palat.). In utroque autem loco pro Carchedoniis Chalcedonios intelligendos esse solenni errore (Plinii etiam tempore) confusos, Bospori nomen admonet. » *Rosius.*

## (ΧΑΛΚΙΔΕΩΝ.)

223 (596).

Strabo X, p. 445 : Οὐ μόνον δὲ Μάκρις ἐκλήθη ἡ νῆσος (ἡ Εὔβοια scil.) ἀλλὰ καὶ Ἀβαντίς. Εὔβοιαν γοῦν εἰπὼν ὁ ποιητὴς τοὺς ἀπ' αὐτῆς Εὐβοίας οὐδέποτε εἴρηκεν ἀλλ' Ἄβαντας ἀεί... Φησὶ δ' Ἀριστοτέλης ἐξ Ἄβας τῆς Φωκικῆς Θρᾷκας ὁρμηθέντας ἐποικῆσαι τὴν νῆσον καὶ ἐπονομάσαι Ἄβαντας τοὺς ἔχοντας αὐτήν· οἱ δὲ ἀπὸ ἥρωός φασι, καθάπερ καὶ Εὔβοιαν ἀπὸ ἡρωίνης.

Ex Strabone Eustathius in Iliad. p. 281, 31. Cf. Schol. Il. β, 536, Etymol. Gud. p. 217, 13. Steph. Byz. s. v. Ἀβαντίς.

224 (597).

Strabo X, p. 447 : Αἱ δ' οὖν πόλεις αὗται (ἡ Χαλκὶς καὶ ἡ Ἐρέτρια scil.) διαφερόντως αὐξηθεῖσαι

---

sententiis in libro, quem Opera appellavit, scriptis. Unam harum Pitthei ferunt fuisse hanc, videlicet :

Sufficiat merces quæ decernatur amico.

Atque hoc Aristoteles quoque philosophus tradit.

PHOCENSIUM.

221.

Execestus Phocensium tyrannus, duos gestans incantatos annulos, e sonitu, quem collisi inter se edebant, sciebat tempora rerum gerendarum : nihilominus obiit dolo interfectus, quamvis id ei prænuntiasset annulus, ut ait Aristoteles in Republica Phocensium

(CHALCIDENSIUM.)

223.

Eubœa insula non modo Macris appellabatur, sed etiam Abantis. Equidem Homerus quum vocet insulam Eubœam nusquam ejus incolas Eubœenses sed Abantas nominat... Aristoteles dicit ex Aba Phocica profectos Thraces frequentasse insulam, unde incolæ ejus Abantes nuncupati sint. Alii vero ab heroe nomen accepisse dicunt, ita ut Eubœa ab heroina.

224.

Hæ urbes (*Chalcis et Eretria*) majorem in modum auctæ colonias etiam in Macedoniam miserunt. Nam Eretria urbes circa Pallenen et Atho condidit; Chalcis Olyntho vicinas, quas Philippus delevit. Quin et in Italia et in Sicilia multæ sunt Chalcidensium coloniæ, quas deductas esse Aristoteles dicit, quo tempore Hippobotæ qui dicebantur, rempublicam tenebant : hi enim Chalcide lecti aristocratice eam administrabant.

καὶ ἀποικίας ἔστειλαν ἀξιολόγους εἰς Μακεδονίαν. Ἐρέτρια μὲν γὰρ συνῴκισε τὰς περὶ Παλλήνην καὶ τὸν Ἄθω πόλεις, ἡ δὲ Χαλκὶς τὰς ὑπὸ Ὀλύνθῳ, ἃς Φίλιππος διελυμήνατο· καὶ τῆς Ἰταλίας τε καὶ Σικελίας πολλὰ χωρία Χαλκιδέων ἐστίν. Ἐστάλησαν δὲ αἱ ἀποικίαι αὗται, καθάπερ εἴρηκεν Ἀριστοτέλης, ἡνίκα ἡ τῶν Ἱπποβοτῶν ἐπεκράτει πολιτεία· προέστησαν γὰρ αὐτῆς ἀπὸ τιμημάτων ἄνδρες ἀριστοκρατικῶς ἄρχοντες.

De Hippobotis Chalcidensium cf. Herodot. V, 77. VI, 100. Plut. V. Pericl. c. 23. Ceterum ipsius Aristotelis matrem ex earum stirpe fuisse, qui e Chalcide Stagira coloniam duxerant, teste Dionys. Hal. Epist. ad Ammæum § 5, apte monuit Neumannus.

225 (597).

Plutarch. Erotic. c. 17 : Κλεόμαχον δὲ τὸν Φαρσάλιον ἴστε δήπουθεν ἐξ ἧς αἰτίας ἐτελεύτησεν ἀγωνιζόμενος;... Ἧκεν ἐπίκουρος Χαλκιδεῦσι [μετὰ] τοῦ Θεσσαλικοῦ, πολέμου πρὸς Ἐρετριεῖς ἀκμάζοντος. Καὶ τὸ μὲν πεζὸν ἐδόκει τοῖς Χαλκιδεῦσιν ἐρρῶσθαι, τοὺς δ' ἱππέας μέγα ἔργον ἦν ὤσασθαι τῶν πολεμίων. Παρεκάλουν δὴ τὸν Κλεόμαχον ἄνδρα λαμπρὸν ὄντα τὴν ψυχὴν οἱ σύμμαχοι πρῶτον ἐμβάλλειν εἰς τοὺς ἱππέας. Ὁ δὲ ἠρώτησε παρόντα τὸν ἐρώμενον, εἰ μέλλει θεᾶσθαι τὸν ἀγῶνα. Φήσαντος δὲ τοῦ νεανίσκου καὶ φιλοφρόνως αὐτὸν ἀσπασαμένου καὶ τὸ κράνος ἐπιθέντος, ἐπιγαυρωθεὶς ὁ Κλεόμαχος καὶ τοὺς ἀρίστους τῶν Θεσσαλῶν συναγαγὼν περὶ αὑτὸν ἐξήλασε λαμπρῶς καὶ προσέπεσε τοῖς πολεμίοις, ὥστε συνταράξαι καὶ τρέψασθαι τὸ ἱππικόν. Ἐκ δὲ τούτου καὶ τῶν ὁπλιτῶν φυγόντων, ἐνίκησαν κατὰ κράτος οἱ Χαλκιδεῖς· τὸν μέντοι Κλεόμαχον ἀποθανεῖν συνέτυχε, τάφον δ' αὐτοῦ δεικνύουσιν ἐν ἀγορᾷ Χαλκιδεῖς ἐφ' οὗ μέχρι νῦν ὁ μέγας ἐφέστηκε κίων· καὶ τὸ παιδεραστεῖν πρότερον ἐν ψόγῳ τιθέμενοι, τότε μᾶλλον ἑτέρων ἠγάπησαν καὶ ἐτίμησαν. Ἀριστοτέλης δὲ τὸν μὲν Κλεόμαχον ἄλλως ἀποθανεῖν φησὶ κρατήσαντα τῶν Ἐρετριέων τῇ μάχῃ· τὸν δὲ ὑπὸ τοῦ ἐρωμένου φιληθέντα τῶν ἀπὸ Θρᾴκης Χαλκιδέων γενέσθαι, πεμφθέντα τοῖς ἐν Εὐβοίᾳ Χαλκιδεῦσιν ἐπίκουρον· ὅθεν ᾄδεσθαι παρὰ τοῖς Χαλκιδεῦσιν,

Ὦ παῖδες, οἳ χαρίτων τε καὶ πατέρων λάχετ' ἐσθλῶν,
μὴ φθονεῖθ' ὥρας ἀγαθοῖσιν ὁμιλίαν,
σὺν γὰρ ἀνδρείᾳ καὶ ὁ λυσιμελὴς Ἔρως
ἐπὶ Χαλκιδέων θάλλει πόλεσιν.

Ἄντων ἦν ὄνομα τῷ ἐραστῇ, τῷ δ' ἐρωμένῳ Φίλιστος, ὡς ἐν τοῖς Αἰτίοις Διονύσιος ὁ ποιητὴς ἱστόρησε.

Multo probabilius hæc ad Chalcidensium Rempublicam quam, ut Rosius fecit, ad Aristotelis Eroticum, a nullo præter Athenæum citatum, referuntur probantque quodammodo ejusdem Athenæi verba XIII, p. 601, E : Ὅλως δὲ τοὺς παιδικοὺς ἔρωτας τῶν ἐπὶ ταῖς θηλείαις προκρίνουσι πολλοί. Παρὰ γὰρ ταῖς μάλιστα εὐνομουμέναις πόλεσιν ἐπὶ τῆς Ἑλλάδος σπουδασθῆναι τόδε τὸ ἔθος. Κρῆτες γοῦν, ὡς ἔφην (supra XI, c. 20), καὶ οἱ ἐν Εὐβοίᾳ Χαλκιδεῖς περὶ τὰ παιδικὰ δαιμονίως ἐπτόηνται. Ceterum vide fr. 124.

De insula Eubœa scripserat alius Aristoteles cujus mentio apud Harpocrationem s. v. Ἄργουρα... Ἔστι δὲ πόλις τῆς Εὐβοίας ἐν τῇ Χαλκιδικῇ κειμένη, ὡς Ἀριστοτέλης ὁ Χαλκιδεὺς ἐν τῷ περὶ Εὐβοίας et Schol. Apollonii Rhod. I, 558 : Σουΐδας καὶ Ἀριστοτέλης, οἱ περὶ Εὐβοίαν πεπραγματευμένοι.

(ΩΡΩΠΙΩΝ.)

226 (598).

Stephanus Byz. s. v. Ὠρωπός : πόλις Μακεδονίας... Ἔστι καὶ ἄλλη Εὐβοίας. Ἀριστοτέλης γοῦν

225.

Scitis vero, Cleomachus Pharsalius qua de causa in pugna perierit?... Flagrante inter Chalcidenses et Eretrienses bello, Chalcidensibus auxilio venerat cum Thessalorum copiis. Videbantur autem Chalcidenses peditatu satis valere, sed equites hostium pellere magni erat arduique res laboris : itaque Cleomachum socii hortabantur, magno virum animo, ut primus equitatum hostilem invaderet. Is ex amasio qui una aderat quæsivit, spectatorne esse certaminis vellet : quumque affirmasset juvenis, blandeque exosculatus galeam ei imposuisset, elato jam animo Cleomachus, Thessalorum optimis circum se collectis, alacriter in hostem irruit, ita ut equitatum eorum conturbaret atque disjiceret : fugaque exinde etiam gravis armaturæ militum facta, vi Chalcidenses victoriam adepti sunt, Cleomacho tamen in pugna interfecto. Ejus sepulchrum in foro monstrant Chalcidenses, cui etiamnum magna insistit columna ; quumque antea masculum amorem vituperassent, tum aliis magis amplexi sunt atque honoraverunt. Alioquin Aristoteles Cleomachum quidem mortuum esse scribit, quum pugna vicisset Eretrienses : eum vero cui osculum amasius dederit, fuisse de Chalcidensibus e Thracia, missum auxilio Chalcidensibus Eubœensibus : itaque cani apud Chalcidenses :

O gratia patribusque fortibus quibus obtigit nitere,
vestrum nolite bonis negare florem,
nam cum virtute simul Cythereius
celebrat puer urbes Chalcidicas.

Dionysius poeta in Ætiis, Antonem amatoris, amasii nomen Philistum prodit.

(OROPIORUM.)

226.

Aristoteles Oropum Græam nominari dicit. Græa vero

τὸν Ὠρωπὸν Γραῖάν φησι λέγεσθαι· ἡ δὲ Γραῖα τόπος τῆς Ὠρωπίας πρὸς τῇ θαλάσσῃ κατ' Ἐρετρίας καὶ Εὐβοίας κειμένη.

Idem s. v. Τάναγρα : πόλις Βοιωτίας, ἣν Ὅμηρος (Il. β, 498) Γραῖαν καλεῖ διὰ τὸ πλησίον εἶναι. Ἐκαλεῖτο δὲ πρότερον Ποιμανδρία. Λυκόφρων... Τὴν δὲ Γραῖαν ἔνιοι λέγουσι τὸ νῦν τῆς Θηβαΐκῆς καλούμενον (add. γραίας s. γραὸς ἕδος), τινὲς δὲ τὴν Ταναγραῖαν, ὧν εἷς καὶ Καλλίμαχος. Ἀριστοτέλης δὲ Γραῖαν καλεῖ τὴν νῦν Ὠρωπόν· ἔστι δὲ τόπος τῆς τῶν Ὠρωπίων πόλεως πρὸς τῇ θαλάττῃ.

Eadem Eustathius ad Il. p. 226, 22 Rom. : Ἀριστοτέλης Γραῖαν λέγει τὴν νῦν Ὠρωπόν· τὸ δὲ τῆς κλήσεως αἴτιον ἀπὸ Γραίας τῆς Μελεδῶνος. Ultima e Schol. ad Iliad. β, 498, p. 81, A, 29 Bekk. ducta sunt ubi legitur : Τῆς Μεδεῶνος θυγατρός, Λευκίππου δὲ γυναικός.

Cum Stephano Byz. conf. Strabo IX p. 404 : Καὶ ἡ Γραῖα δ' ἐστὶ τόπος Ὠρωποῦ πλησίον καὶ τὸ ἱερὸν τοῦ Ἀμφιαράου καὶ τὸ Ναρκίσσου τοῦ Ἐρετριέως μνῆμα... Τινὲς δὲ τῇ Τανάγρᾳ τὴν αὐτήν φασιν· ἡ Ποιμανδρὶς δ' ἐστὶν ἡ αὐτὴ τῇ Ταναγρικῇ.

Aristotelis nomen fortasse pro Aristarchi apud Stephanum et inde apud Eustathium positum fuisse suspicatur Rosius, quum tota hæc disputatio ad Homerici catalogi explicationem pertineat. Quæ tamen non magis certa sunt quam quod idem existimat, hunc locum e Δικαιώμασι desumptum esse. Licet enim frequens fuerit inter Athenienses et Bœotos de Oropo controversia (cf. Strabo II, p. 115 : Διὸ καὶ συμβαίνει κρίσις πολλάκις περὶ χωρίων τινῶν· καθάπερ... Ἀθηναίοις δὲ καὶ Βοιωτοῖς περὶ Ὠρωποῦ, IX, p. 399 : Ὠρωπὸς δ' ἐν ἀμφισβητησίμῳ γεγένηται πολλάκις· ἵδρυται γὰρ ἐν μεθορίῳ τῆς τε Ἀττικῆς καὶ τῆς Βοιωτίας), tamen sive in peculiari Republica, sive in communi Bœotorum, sive etiam in Atheniensium de hac urbe loqui potuit Aristoteles.

## ΕΞ ΑΔΗΛΩΝ ΠΟΛΙΤΕΙΩΝ.

227 (599).

Ælian. Var. Histor. V, 3 : Ἀριστοτέλης τὰς νῦν Ἡρακλείους στήλας καλουμένας, πρινὴ κληθῆναι τοῦτο, φησί, Βριάρεω καλεῖσθαι αὐτάς. Ἐπεὶ δ' ἐκάθηρε γῆν καὶ θάλασσαν Ἡρακλῆς, καὶ ἀναμφιλόγως εὐεργέτης ἐγένετο τῶν ἀνθρώπων, τιμῶντες αὐτόν, τοῦ μὲν Βριάρεω μνήμην παρ' οὐδὲν ἐποιήσαντο, Ἡρακλείους δὲ προσαγόρευσαν. Cf. Hesychius s. v. Βριάρεω στῆλαι : Αἱ Ἡράκλειοι λεγόμεναι. Schol. Dionys. Perieg. v. 64 : Ὄνομα δὲ τῇ μὲν Εὐρωπαίᾳ κατὰ μὲν βαρβάρους Κάλπη, κατὰ δὲ Ἕλληνας Ἀλύβη· τῇ δὲ Λιβυκῇ κατὰ μὲν Ἕλληνας Κυνηγετικὴ, κατὰ δὲ βαρβάρους Ἄβεννα, ὡς Χάραξ ἱστορεῖ. Αὗται δὲ πρότερον Κρόνου ἐλέγοντο στῆλαι διὰ τὸ μέχρι τῶν τῇδε ὁρίζεσθαι δῆθεν τὴν ἀρχὴν αὐτοῦ. Δεύτερον δὲ ἐλέχθησαν Βριάρεω, ὥς φησιν Εὐφορίων, τρίτον δὲ Ἡρακλέους, quæ eadem Eustathius, omisso Characis nomine, l. l. habet. Antiqui poetæ, cujus nomen excidit citatur versus apud Schol. Pind. Nem. III, 38 : Αἱ δὲ Ἡράκλειοι στῆλαι καὶ Βριάρεω λέγονται εἶναι καθό φησι...

Στῆλαί τ' Αἰγαίωνος ἁλὸς μεδέοντι Γίγαντος,

quem imitatus est fortasse Parthenius a Scholiaste ad Dionysium Periegetem ad v. 456 citatus : Ἐνταῦθα (apud Gades scil.) εἰσὶν αἱ στῆλαι τοῦ Ἡρακλέους. Ὁ δὲ Παρθένιος Βριάρεω τὰς στήλας φησὶν εἶναι. Μάρτυρα δ' ἄμμιν τὴν ἐπὶ Γαδείρᾳ λίπε θυμὸν ἀρχαίου Βριάρεω ἀπ' οὔνομα τὸ πρὶν ἄρξας (1). Cf. Meinekii *Analecta Alexandr.* p. 157 et 278. Briarei mentionem fortasse in Eubœensium Republica fecerat Aristoteles, ob ea quæ narrat Arrianus apud Eustath. in Iliad. p. 123, 35. Ceterum cf. quoque Clitodemi fr. 19 apud Müllerum.

228 (600).

Apostol. Prov. XI, 97 : Νάνος ὢν ὕπεικε : Ἐπὶ τῶν μικρῶν· οὕτω Νεοκλείδης καὶ Ἀριστοτέλης, ὁ δὲ Θεόφραστος καὶ αἰδοῖον ἔχοντα μέγα· οἱ γοῦν νάνοι μέγα αἰδοῖον ἔχουσιν.

Apud Suidam s. v. Νάνος legitur tantum : Ἐπὶ τῶν μικρῶν παρὰ Νεοκλείδῃ καὶ Ἀριστοτέλει. Cf. Hesychius et Photius s. v. Proverbium si ab Aristotele illustratum est, satis probabiliter

---

locus est Oropiorum regionis, ad mare situs ex adverso Eretriæ et Eubœæ.

Aristoteles Græam dicit quæ nunc Oropus dicitur.

EX INCERTIS REBUSPUBLICIS.

227.

Aristoteles affirmat columnas, quæ nunc Herculis appellantur, antequam ita vocarentur Briarei dictas fuisse. Postquam vero Hercules terram mareque purgasset, et sine dubio bene meritus esset de hominibus : tum vero illi, honorantes ipsum, Briarei quidem memoriam rejecerunt, et Herculis columnas cognominarunt.

228.

Quum nanus sis, cede : de parvis ita Neoclides et Aristoteles.

(1) Meinekius e conjectura : Μάρτυρα δ' ἄμμιν τὰν ἐπὶ Γαδείρᾳ ἔλλιπε θεμοσύναι ἀρχαίου Βριαρεῶο ἀπ' οὔνομα τὸ πρὶν ἀράξας.

hoc fragmentum ad Respublicas Rosius retulit. Potius tamen puto testimonium ex Hist. Anim. VI, 24, 1, petitum esse.

## II. NOMIMA BAPBAPIKA.

Politiis quæ Græcarum gentium mores atque instituta complectebantur, Νόμιμα Βαρβαρικά respondebant, quibuscum ea conjunxit Cicero, loco supra jam a nobis allato, de Finibus V, 4 : *Omnium fere civitatum non Græciæ solum sed etiam barbariæ ab Aristotele mores, instituta, disciplinas, a Theophrasto etiam leges cognovimus.* Titulus libri, quem expresse laudant Varro et Apollonius (cf. fragm. 1 et 2), corrupte legitur in indicibus, Νόμοι α' β' γ' δ' apud Diogenem Laertium (140), et paulo rectius Νομίμων δ' apud Anonymum (120). Νόμιμα βαρβαρικά, præter Hellanici quæ a falsario quodam ex Herodoto et Damaso conflata erant (cf. Euseb. Præpar. Evang. IX, 39, p. 466, B), Theodectis (cf. Suidas s. v.) et Nymphodori (cf. Müller. Fragm. Hist. Græc. t. II, 379), semel quoque Callimachi laudantur, apud Suidam s. v. Φασηλίς... Καὶ παροιμία· Φασηλιτῶν θῦμα, ἐπὶ τῶν εὐτελῶν καὶ ἀναίμων τίθεται. Φασηλίτας γὰρ τάριχον τῷ Καλαβρῷ θύειν φησὶ Καλλίμαχος ἐν Βαρβαρικοῖς Νομίμοις (pro Καλαβρῷ apud Photium et Zenobium Κολαβρῷ legitur. Toupius Κυλάβρᾳ scribendum esse conjecit collato Heropytho apud Athenæum VII, p. 297, E, cf. Müller. Fragm. Hist. gr. t. IV, p. 428 et Philostephanus fr. 1, ib. t. III, p. 29). Qui liber quum alibi non nominetur, fortasse non de ipsius Callimachi opere, sed de Aristotelis, quem ut sæpissime exscripserat Callimachus, hæc accipienda sunt.

Singulis Barbaricorum Institutorum partibus proprios titulos fuisse Athenæus testari videtur, in cujus Epitome I, p. 23, D, semel Τυρρηνῶν Νόμιμα afferuntur. De Ῥωμαίων vero Νομίμοις, a solo Anonymo laudatis, in fine alterius indicis, inter scripta aperte supposita, non est cur amplius curemus. Neque illud affirmare ausim non ex supposititio quodam libro petita esse quæ cum a Dionysio tum a Plutarcho ex Aristotele narrantur, cf. infra Tyrrhenorum Inst. fr. 3 et 4. Ceterum haud pauca fortasse sunt quæ ex his Barbaricis Institutis in collectiones Mirabilium migrarunt, præsertim vero in eam quæ ipsius Aristotelis nomine inscripta est. Cf. infra fragm. 4.

1 (601).

Varro de L. lat. VII, 70 : *Præfica dicta, ut Aurelius scribit, mulier ad luctum quæ conduceretur, quæ ante domum mortui laudes ejus caneret. Hoc factitatum* Aristoteles *scribit in libro qui inscribitur* Νόμιμα βαρβαρικά.

Cf. Hesychius s. v. Καρῖναι : Θρηνῳδοὶ μουσικαί, αἳ τοὺς νεκροὺς τῷ θρήνῳ καταπέμπουσαι πρὸς τὰς ταφὰς καὶ τὰ κήδη. Παρελαμβάνοντο δὲ αἱ ἀπὸ Καρίας γυναῖκες, quæ ex Aristotele fortasse desumpta sunt.

2 (602).

Apollon. Hist. Mirab. 11 : Ἀριστοτέλης δὲ ἐν Νομίμοις βαρβαρικοῖς. [Ἐν Λάτμῳ] τῆς Καρίας σκορπίοι γίνονται οἳ τοὺς μὲν ξένους πατάξαντες οὐ λίαν ἀδικοῦσι, τοὺς δὲ ἐπιχωρίους παραυτὰ ἀποκτείνουσιν.

Verba ἐν Λάτμῳ ex Antigono addenda sunt, Hist. mir. c. 18 . Ἐν Λάτμῳ δὲ τῆς Καρίας φησὶν Ἀριστοτέλης τοὺς σκορπίους, ἐὰν μὲν τῶν ξένων τινὰ πατάξωσιν, μετρίως λυπεῖν, ἐὰν δὲ τῶν ἐγχωρίων, ἕως θανάτου κατατείνειν. Eadem Plinius Hist. nat. VIII, 84 : *In Latmo Cariæ monte* Aristoteles *tradit a scorpionibus hospites non lædi, indigenas interimi.* Cf. Solin. c. 30. Rei Ælianus quoque meminit de Natura Anim. V, 14 omisso tamen Aristotelis nomine. De Caricis scorpionibus Aristot. Hist. Anim. VIII, 29.

3 (603).

Plinius Hist. nat. VII, 2, 15 : *Supra Nasamonas confinesque illis Machlyas Androgynos esse utriusque naturæ inter se vicibus coeuntes Calliphanes tradit.* Aristoteles *adjicit dextram mammam iis virilem, lævam muliebrem esse.* Sequitur mox § 27 locus de Pygmæis : *Aristoteles in cavernis vivere Pygmæos tradit : cetera de his, ut reliqui,* qui ad Hist. An. VIII, 12 spectare videtur. Cf. Eustath. in Iliad. p. 372, 13.

4 (604).

Stephan. Byz. s. v. Γέρμαρα : Κελτικῆς ἔθνος, ὃ τὴν ἡμέραν οὐ βλέπει, ὥς Ἀριστοτέλης περὶ Θαυμασίων· τοὺς δὲ Λωτοφάγους καθεύδειν ἑξάμηνον.

---

INSTITUTA BARBARICA.

2.

Aristoteles in Institutis Barbaricis : In Latmo Cariæ scorpii nascuntur, qui peregrinos ferientes non magnopere lædunt, indigenas vero ictu suo statim necant.

4.

Germara : Celtarum populus qui diem non adspicit, ut Aristoteles in Mirabilibus : Lotophagi autem per sex menses dormiunt.

Pro Γέρμαρα, sive Γέρμερα quæ codd. Rhedig. lectio est, Meinekius Γέρμανα, L. Diefenbach. *Origin. Europ.* p. 190, Γερμανοί scribi voluerunt. Quæ alibi e Mirabil. Auscult. laudantur apud Stephanum Byz. s. v. Γελωνοί, Οἶνα, Ὀμβρικοί, Σιντία, Ταυλάντιοι, Τῆνος, Τραπεζοῦς, Ψιττακή, in superstite collectione memorantur.

## III. ΝΟΜΙΜΑ ΤΥΡΡΗΝΩΝ.

### 1 (605).

Athen. Epit. I, 23, D : Ἀριστοτέλης ἐν Τυρρηνῶν Νομίμοις : Οἱ δὲ Τυρρηνοὶ δειπνοῦσι μετὰ τῶν γυναικῶν ἀνακείμενοι ὑπὸ τῷ αὐτῷ ἱματίῳ.

Heracl. Excerpta p. 18, 6 : Τυρρηνοὶ τέχνας ἔχουσι πλείστας, πάντες δὲ ὑπὸ τῷ αὐτῷ ἱματίῳ κατάκεινται, κἂν παρῶσί τινες. Athenæus locum Aristotelis attulerat ob infrequentiorem usum verbi ἀνακεῖσθαι.

### 2 (606).

Pollux IV, 56 : Τυρρηνοὶ δὲ τῷ Ἀριστοτέλους λόγῳ οὐ πυκτεύουσιν ὑπ' αὐλῷ μόνον ἀλλὰ καὶ μαστιγοῦσι καὶ ὀψοποιοῦσιν.

Plutarch. De cohib. ira c. 11 : Οὐ γάρ, ὡς Ἀριστοτέλης ἱστορεῖ, κατ' αὐτὸν ἐν Τυρρηνίᾳ μαστιγοῦσθαι τοὺς οἰκέτας πρὸς αὐλόν, οὕτω πρὸς ἡδονὴν δεῖ... τῆς τιμωρίας ἐμφορεῖσθαι. Similia narrant Eratosthenes apud Athen. IV, 154, A, Theopompus ibid. XII, 517, A, Alcimus ib. p. 518, B. Ex Aristotele fortasse fluxerant quæ Ælianus de Nat. An. XII, 46 refert.

### 3 (607).

Dionysius Halic. Antiquit. Rom. I, 72 : Ὁ δὲ τὰς ἱερείας τὰς (Hellanicus scil. cf. Müller fr. 53) ἐν Ἄργει καὶ τὰ καθ' ἑκάστην πραχθέντα συναγαγὼν Αἰνείαν φησὶν ἐκ Μολοττῶν εἰς Ἰταλίαν ἐλθόντα μετ' Ὀδυσσέως οἰκιστὴν γενέσθαι τῆς πόλεως, ὀνομάσαι δ' αὐτὴν ἀπὸ μιᾶς τῶν Ἰλιάδων Ῥώμης. Ταύτην δὲ λέγει ταῖς ἄλλαις Τρῳάσι παρακελευσαμένην κοινῇ μετ' αὐτῶν ἐμπρῆσαι τὰ σκάφη, βαρυνομένην τῇ πλάνῃ. Ὁμολογεῖ δ' αὐτῷ καὶ Δαμάστης ὁ Σιγειεὺς καὶ ἄλλοι τινές. Ἀριστοτέλης δὲ ὁ φιλόσοφος Ἀχαιῶν τινὰς ἱστορεῖ τῶν ἀπὸ Τροίας ἀνακομισαμένων περιπλέοντας Μαλέαν, ἔπειτα χειμῶνι βιαίῳ καταληφθέντας, τέως μὲν ὑπὸ τῶν πνευμάτων φερομένους πολλαχῇ τοῦ πελάγους πλανᾶσθαι, τελευτῶντας δ' ἐλθεῖν εἰς τὸν τόπον τοῦτον τῆς Ὀπικῆς ὃς καλεῖται Λάτιον ἐπὶ τῷ Τυρρηνικῷ πελάγει κείμενος. Ἀσμένους δὲ τὴν γῆν ἰδόντας ἀνελκῦσαί τε τὰς ναῦς αὐτόθι καὶ διατρῖψαι τὴν χειμερινὴν ὥραν παρασκευαζομένους ἔαρος ἀρχομένου πλεῖν. Ἐμπρησθεισῶν δὲ αὐτοῖς ὑπὸ νύκτα τῶν νηῶν οὐκ ἔχοντας ὅπως ποιήσονται τὴν ἄπαρσιν, ἀβουλήτῳ ἀνάγκῃ τοὺς βίους ἐν ᾧ κατήχθησαν χωρίῳ ἱδρύσασθαι· συμβῆναι δὲ αὐτοῖς τοῦτο διὰ γυναῖκας αἰχμαλώτους, ἃς ἔτυχον ἔχοντες ἐξ Ἰλίου· ταύτας δὲ κατακαῦσαι τὰ πλοῖα φοβουμένας τὴν οἴκαδε Ἀχαιῶν ἄπαρσιν ὡς εἰς δουλείαν ἀφιξομένας.

De eadem re Plutarchus Quæst. Rom. c. 6 : Διὰ τί τοὺς συγγενεῖς τῷ στόματι φιλοῦσιν αἱ γυναῖκες; Πότερον, ὡς οἱ πλεῖστοι νομίζουσιν, ἀπειρημένον ἦν πίνειν οἶνον ταῖς γυναιξίν; ὅπως οὖν πιοῦσαι μὴ λανθάνωσιν, ἀλλ' ἐλέγχωνται περιτυγχάνουσαι τοῖς οἰκείοις, ἐνομίσθη καταφιλεῖν; Ἢ δι' ἣν Ἀρι-

---

TYRRHENORUM.

1.

Aristoteles in Tyrrhenorum Institutis : Tyrrheni cœnant cum mulieribus sub eadem veste decumbentes.

2.

Tyrrheni, secundum Aristotelem, ad tibias non modo pugilantur, sed flagris etiam cædunt atque opsonia apparant. Narrat Aristoteles suo etiam tempore servos in Etruria ad tibiæ cantum solitos flagris cædi.

3.

Sed is (Hellanicus) qui de sacerdotibus quæ Argis erant scripsit, et ea collegit quæ cujusque tempore facta sunt ait Æneam cum Ulysse e Molossis Italiam appulsum urbem condidisse; eamque de unius Iliadum Romæ nomine vocavisse. Hanc autem dicit, nimio errore fatigatam, alias virgines Trojanas impulisse, ut una secum naves incenderent. Eique assentitur Damastes Sigensis et alii quidam. Aristoteles vero philosophus Achæorum Troja redeuntium nonnullos Maleam circumnavigantes, quum vehementi tempestate opprimerentur, per aliquantum temporis ventorum vi huc illuc delatos per mare vagatos esse, tandem vero venisse in eum Opicæ locum, qui vocatur Latium, ad mare situm Tyrrhenicum. Terra conspecta lætos naves subduxisse, ibique hiemis tempestatem transegisse, ut veris initio navigationem resumerent. Incensis vero noctu navibus, quum proficisci non possent necessitate coactos esse ut vitæ sedem in locis istis, quos appulerant, figerent. Hoc autem iis accidisse facinore mulierum, quas captivas secum e Troja duxerant. Eas enim ignes navibus injecisse timentes servitutem quæ, reversis domum Achæis, ipsas maneret.

*Quare mulieres osculo salutant cognatos suos?* An id sentiendum est quod plerisque probatur, interdictum usu vini mulieribus fuisse; ac proinde ne latere posset si qua vinum bibisset, sed a familiaribus inter congressum deprehenderentur, osculandi morem fuisse institutum? An vero quam affert Aristoteles philosophus causam, ea recipienda est? Id enim quod fama pervulgatum est, multisque locis adscribitur, facinus a Troadibus, quoque in Italia perpetratum fuit. Nam ibi quum post na-

στοτέλης ὁ φιλόσοφος αἰτίαν ἱστόρηκε; τὸ γὰρ πολυθρύλητον ἐκεῖνο καὶ πολλαχοῦ γενέσθαι λεγόμενον, ὡς ἔοικεν, ἐτολμήθη καὶ ταῖς Τρῳάσι περὶ τὴν Ἰταλίαν. Τῶν γὰρ ἀνδρῶν ὡς προσέπλευσαν ἀποβάντων, ἐνέπρησαν τὰ πλοῖα, πάντως ἀπαλλαγῆναι τῆς πλάνης δεόμεναι καὶ τῆς θαλάττης, φοβηθεῖσαι δὲ τοὺς ἄνδρας ἠσπάζοντο τῶν συγγενῶν καὶ οἰκείων μετὰ τοῦ καταφιλεῖν καὶ περιπλέκεσθαι τοὺς προστυγχάνοντας· παυσαμένων δὲ τῆς ὀργῆς καὶ διαλλαγέντων, ἐχρῶντο καὶ τοῦ λοιποῦ ταύτῃ τῇ φιλοφροσύνῃ πρὸς αὐτούς.

Hanc ex Aristotele desumptam narrationem ex Heraclide, Lembo cognominato, affert Festus s. v. *Roma* (p. 269 Müller) : *Lembos qui appellatur Heraclides existimat, revertentibus ab Ilio Achivis, quosdam tempestate dejectos in Italiæ regiones, secutos Tiberis decursum, pervenisse ubi nunc sit Roma, ibique propter tædium navigationis impulsas captivas auctoritate virginis cujusdam tempestivæ nomine Rhomes incendisse classem atque ab ea necessitate ibi manendi urbem conditam ab eis et potissimum ejus nomine eam appellatam, a cujus consilio eas sedes sibi firmavissent.* Cf. Servius ad Æneid. I, 273 et Solin. c. 1. Eodem modo res apud Polyænum VIII, 25 narratur. Similis plane fabulæ, mutatis tantum locis et nominibus, ut jam a Strabone VI, p. 264 observatum est, frequens mentio. Cf. Pseudo-Aristot. Mirab. Ausc. c. 109, et quæ congessit testimonia Schwegler. *Römische Geschichte,* t. I, p. 404, n. 29.

4 (608).

Plutarch. V. Camilli c. 22 : Τοῦ μέντοι πάθους αὐτοῦ καὶ τῆς ἁλώσεως (urbis Romæ a Gallis scil.) ἔοικεν ἀμυδρά τις εὐθὺς εἰς τὴν Ἑλλάδα φήμη διελθεῖν. Ἡρακλείδης γὰρ ὁ Ποντικὸς οὐ πολὺ τῶν χρόνων ἐκείνων ἀπολειπόμενος ἐν τῷ περὶ Ψυχῆς συγγράμματί φησιν ἀπὸ τῆς ἑσπέρας λόγον κατασχεῖν ὡς στρατὸς ἐξ Ὑπερβορέων ἐλθὼν ἔξωθεν ᾑρήκοι πόλιν Ἑλληνίδα Ῥώμην ἐκεῖ που κατῳκημένην περὶ τὴν μεγάλην θάλασσαν. Οὐκ ἂν οὖν θαυμάσαιμι μυθώδη καὶ πλασματίαν ὄντα τὸν Ἡρακλείδην ἀληθεῖ λόγῳ τῷ περὶ τῆς ἁλώσεως ἐπικομπάσαι τοὺς Ὑπερβορέους καὶ τὴν μεγάλην θάλατταν. Ἀριστοτέλης δὲ ὁ φιλόσοφος τὸ μὲν ἁλῶναι τὴν πόλιν ὑπὸ Κελτῶν ἀκριβῶς δῆλός ἐστιν ἀκηκοώς, τὸν δὲ σώσαντα Λεύκιον εἶναι φησίν· ἦν δὲ Μάρκος, οὐ Λεύκιος, ὁ Κάμιλλος.

## IV. ΔΙΚΑΙΩΜΑΤΑ.

Quænam sit vocabuli δικαίωμα significatio, ipsius Aristotelis verbis definire licet, in Ethicis ad Nicom. V, 7, 7 ita dicentis : Δικαίωμα τὸ ἐπανόρθωμα τοῦ ἀδικήματος, cf. præterea de Cælo I, 10, Rhetor. I, 13, Thucyd. I, 41 et alibi. Δικαιώματα igitur Aristotelis, quorum unum tantum librum agnoscunt codices Diogenis Laertii (129, Anon. 111) a Rosio collati, omnia complectebantur quæcunque de litibus, de finibus regendis aliisque controversis rebus, inter singulas civitates Græcas agitatis, earumque compositione philosopho innotuerant. Nec a vero fortasse procul aberrabimus, si non tam de justo quodam ac perfecto libro cogitamus, quam de collectione, quales et Didascaliarum et Olympionicarum et Pythionicarum libros fuisse existimo, a philosopho instituta. Talium vero collectionum monumenta publica in singulis urbibus exstantia fons et origo fuerunt, nonnullis additis quæ ad eorum explicationem necessaria erant.

Quæ si recte a nobis dicta sunt, non omnis fortasse fides deneganda est auctori Vitæ Marcianæ, Δικαιωμάτων argumentum ita describenti, p. 2 Robbe : Καὶ τὰ γεγραμμένα αὐτῷ Δικαιώματα Ἑλληνίδων πόλεων, ἐξ ὧν Φίλιππος τὰς φιλονεικίας τῶν Ἑλλήνων διέλυσεν, ὡς μεγαλορρήμον [ήσαντά π]οτε (ita Rosius, melius quam Robbe μεγαλορρημονεῖν ποτε) καὶ εἰπεῖν· « Ὥρισα γῆν Πέλοπος. » Cf. Vers. lat. vet. : *Et scriptas ab eo Justificationes Græcorum civitatum, cum quibus Philippus lites Græcorum determinabat.* In quibus præsertim et illud animadvertendum est hunc librum ante Politias conscriptum fuisse tradi, quum statim addatur : Γέγραπται δὲ αὐτῷ καὶ ἡ τῶν Πολιτειῶν ἱστορία ὕστερον.

---

vium appulsum viri essent digressi, mulieres ignem navibus injecerunt, ut erroribus finem imponerent ac navigationi : deinde sibi metuentes a maritis, cognatos et familiares, ut quisque se obtulerat, cum suavio sunt amplexæ; iraque placata, ut in gratia fuit reditum, hoc deinde eis blandiendi genus retinuerunt.

4.

Videtur sane calamitatis istius Romanæ obscura quædam statim in Græciam pervenisse fama. Heraclides enim Ponticus, qui non diu post illa tempora vixit, in libro de Anima scribit, rumorem ex occidente allatum, quod exercitus ab Hyperboreis advenerit urbemque Græcam, Romam nomine, posito ibi quodam loco ad magnum mare, ceperit. Ceterum Heraclidem fabulas et figmenta scribere alioqui solitum, non miror, vero de capta urbe sermoni, rei exaggerandæ causa, Hyperboreos et magnum mare adjecisse. At Aristoteles philosophus satis testatum fecit, auditu se de Roma a Gallis capta percepisse, eamque a Lucio recuperatam scribit : fuit autem servata non a Lucio, sed a Marco Camillo.

Pro Γέρμαρα, sive Γέρμερα quæ codd. Rhedig. lectio est, Meinekius Γέρμανα, L. Diefenbach. *Origin. Europ.* p. 190, Γερμανοί scribi voluerunt.

Quæ alibi e Mirabil. Auscult. laudantur apud Stephanum Byz. s. v. Γελωνοί, Οἴνα, Ὄμβρικοι, Σιντία, Ταυλάντιοι, Τῆνος, Τραπεζοῦς, Ψιτταχή, in superstite collectione memorantur.

## III. ΝΟΜΙΜΑ ΤΥΡΡΗΝΩΝ.

### 1 (605).

Athen. Epit. I, 23, D: Ἀριστοτέλης ἐν Τυρρηνῶν Νομίμοις: Οἱ δὲ Τυρρηνοὶ δειπνοῦσι μετὰ τῶν γυναικῶν ἀνακείμενοι ὑπὸ τῷ αὐτῷ ἱματίῳ.

Heracl. Excerpta p. 18, 6: Τυρρηνοὶ τέχνας ἔχουσι πλείστας, πάντες δὲ ὑπὸ τῷ αὐτῷ ἱματίῳ κατάκεινται, κἂν παρῶσί τινες. Athenæus locum Aristotelis attulerat ob infrequentiorem usum verbi ἀνακεῖσθαι.

### 2 (606).

Pollux IV, 56: Τυρρηνοὶ δὲ τῷ Ἀριστοτέλους λόγῳ οὐ πυκτεύουσιν ὑπ' αὐλῷ μόνον ἀλλὰ καὶ μαστιγοῦσι καὶ ὀψοποιοῦσιν.

Plutarch. De cohib. ira c. 11: Οὐ γάρ, ὡς Ἀριστοτέλης ἱστορεῖ, κατ' αὐτὸν ἐν Τυρρηνίᾳ μαστιγοῦσθαι τοὺς οἰκέτας πρὸς αὐλόν, οὕτω πρὸς ἡδονὴν δεῖ... τῆς τιμωρίας ἐμφορεῖσθαι. Similia narrant Eratosthenes apud Athen. IV, 154, A, Theopompus ibid. XII, 517, A, Alcimus ib. p. 518, B. Ex Aristotele fortasse fluxerant quæ Ælianus de Nat. An. XII, 46 refert.

### 3 (607).

Mirum fortasse videbitur alicui, Photium paulo iniquius de Aristotelis Epistolis judicasse. Quid vero, si quas respexit non eædem fuerunt atque illæ quarum sæpissime præstantiam laudibus extulit auctor libelli de Elocutione? Ab his enim quin plane diversæ habendæ sint, quæ etiam nunc Aristotelis nomine exstant Epistolæ sex, nemo facile dubitabit. Etenim quæcunque priorum supersunt fragmenta, talia sunt, opinor, ut perspicuum sit, eas, si non ipsius Aristotelis fuisse, tamen haud ita multum post philosophum compositas esse, quippe quarum auctor, quisquis ille fuit, rerum atque hominum ejus ætatis qua Aristotelis vixerat, accuratam ubique cognitionem ostenderit, ita ut ex ejus opere haud pauca, licet multis modis corrupta, ad eos migrasse videantur, qui postea de Aristotelis vita scripserunt. Quare simillimas puto fuisse has Epistolas cum Platonis et Isocratis Epistolis, tum orationibus nonnullis Demosthenis nomine male inscriptis, quæ si non pro genuinis haberi possunt, arte tamen atque ingenio pollent, summamque fidem in rerum narratione merentur. Quod utrumque secus esse in superstitibus Epistolis, vel levis earum inspectio demonstrabit. Tam enim omni rerum atque hominum cognitione destitutæ, tam exiles atque jejunæ in inveniendis et exponendis sententiis, tam ineptæ denique et ridiculæ sunt, ut fraus aperta atque pæne confessa sit. Quod si quædam in iis insunt sententiæ ceteris præstantiores, ideo hoc factum esse puto, quod ex ipso Aristotele mutuatæ atque in suum usum translatæ sunt a scriptore. Ita enim quæ in priore ad Philippum Epistola leguntur verba : Δεῖ γὰρ τοὺς νοῦν ἔχοντας τῶν δυναστευόντων μὴ διὰ τὰς ἀρχάς, ἀλλὰ διὰ τῶν ἀρχῶν θαυμάζεσθαι, ἵνα τῆς τύχης μεταπεσούσης τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται, ea ut sententiam ex Aristotele excerptam afferunt Joan. Stobæus Floril. XLV, 8; Apostol. V, 90 *a*; Arsen. XIII, 59; XVIII, 21; XIX, 97; Anton. Meliss. 103, p. 174 Fabric., nisi quod pro διὰ τῶν ἀρχῶν, διὰ τὰς ἀρετὰς præbent. Similiter fortasse e Theophrasto fluxerunt, quæ in alia Epistola, satis rudi artificio, ita inducuntur : Ὅθεν ἐπαινῶ καὶ τὸν ἡμέτερον γνώριμον Θεόφραστον λέγοντα κτλ. Cf. infra. p. 330.

Præter Aristotelearum epistolarum genera quæ hucusque enumeravimus aliud restat, de quo paucis defungi poterimus. Illarum est quæ præsertim fabulosis de Alexandro narrationibus insertæ erant, quarum exemplum cum Julii Valerii versio latina Pseudo-Callisthenis suppeditat III, 27, p. 139 ed. Müller, ad calcem Arriani ed. Didot, cf. Zacher, *Pseudo-Callisthenes*, Halle 1867, p. 92, tum quas e *libro epistolarum Alexandri ducentas pæne continente epistolas*, excerpsit item ad Aristotelem datas litteras, rerum polonicarum, sublestæ satis fidei scriptor, Vincentius Kadlubko, ad calcem Dlugossi, *Historiæ Poloniæ*, Lips. 1712, t. II, p. 614. Cf. v. Gutschmid, *über die Fragmente des Pompejus Trogus*, *Jahrb. für class. Philologie III Supplement b.*, Leipz. 1857, p. 247 sq.

De talibus commentis non magis hîc curamus, quam de aliis quibusdam quale est : *Epistola Aristotelis ad Alexandrum M., qua universam suam philosophiam retractat*, quam hebraice et

(1) Ceteros locos in quibus Epistolæ Aristotelis nominantur ab ejus interpretibus, operæ pretium non est hic exscribere quippe in quibus nihil inest præter nudam mentionem. Cf. Joann. Philop. in Arist. Categ. p. 35, B, 14. Ammon. in Categ. fol. 7 recto, p. 35, B, 46 Brand. David. in Categ. p. 22, A, 21. Vix digna quæ memorentur habet Schol. An. in Arist. de Cælo, p. 467, B, 1 Brand. : Τὰ μὲν τῶν Ἀριστοτέλους συγγραμμάτων λέγεται ἀκροαματικά, ὅσα πρὸς τοὺς γνησίους αὐτοῦ μαθητὰς ἐρρήθη ... τὰ δὲ ἑταιρικὰ ὅσα πρὸς τοὺς ἑαυτοῦ φίλους ἐγράφη, τὰ δὲ ἐξωτερικά, ὅσα δι' ἐπιστολὰς ἔγραψε πρός τινας τῶν μὴ συνήθων αὐτῷ ἀξιούμενος παρ' ἐκείνων, ἃ καὶ ἐγκύκλια λέγεται, διότι στελλομένων τούτων τοῖς ἐρωτήσασιν οὕτως ἀνεγιγνώσκοντο κατὰ κύκλον πάντων. Haud feliciter Idelerus Πολιτείας pro Ἐπιστολαῖς nominatas putabat in verbis Simplicii de quibus supra diximus p. 223.

latine in *Bibliotheca Rabbinica* Julii Bartholocci, Romæ 1675, t. I, p. 476, exstare affirmat Buhlius, in Aristotelis editione t. I, p. 266.

Reliquum est ut addamus codicis quo continebantur Aristotelis Epistolæ mentionem injectam esse a Gregorio Nazianzeno, Epistola 165 : Τὸ πυκτίον (fort. πτυκτίον cf. M. Schmidt, in Hesych. s. v. et Jacobs in Anthol. Palat. t. I, p. 18), ὅπερ εἴληφας παρ' ἡμῶν, τὰς Ἀριστοτέλους ἐπιστολάς, ἐδυνάμην μὲν μὴ ἀνακομίσασθαι, ἀλλὰ παρά σοι μένειν ἐάσαι, λογίῳ δὲ δῶρον οἰκεῖον καὶ φιλίας ὑπόμνημα δεξιόν. Quænam hæ fuerint Epistolæ ignoramus. Neque minus difficile est de Epistolis sive ipsius ad Diarem sive Diaris ad Aristotelem statuere, a solo Joanne Philopono memoratis, qui ad verba Aristotelis de Anima, II, 6, 4 : Κατὰ συμβεβηκὸς δὲ λέγεται αἰσθητὸν οἷον εἰ τὸ λευκὸν εἴη Διάρους υἱός, hæc annotat fol. K, 1 verso ed. Venet. 1535 : Λέγεται δὲ ὁ Διάρης οὗτος φίλος εἶναι τῷ Ἀριστοτέλει· φέρονται γοῦν αὐτοῦ πρὸς αὐτὸν Ἐπιστολαί. Τὸ οὖν λευκὸν τὸ ἐν τούτῳ καθ' αὑτὸ μὲν ὁρᾷ ἡ ὄψις, κατὰ συμβεβηκὸς δὲ ὅτι ἐστὶ Διάρης οἶδε. Τινὰ δὲ τῶν ἀντιγράφων ἔχουσι « Διάρους υἱός », ita ut Διάρης in suo codice habuisse videatur Joannes Philoponus. Utramque lectionem Themistius quoque videtur novisse Paraphr. f. 78 verso : Αἰσθητὸς γὰρ ὁ Διάρους υἱὸς ἢ ὁ Διάρης. Ignotus ceterum homo ille Diares quum neque apud Simplicium in Arist. de Anima fol. 35 verso, neque alibi ejus mentio fiat.

## ΕΠΙΣΤΟΛΑΙ ΠΡΟΣ ΦΙΛΙΠΠΟΝ.

### 1 (640).

Harpocrat. s. v. Ὅτι ξένους τινὰς ἑαυτοῦ αἰχμαλώτους σκάπτοντας ἐν τῷ Φιλίππου ἀμπελουργίῳ καὶ δεδεμένους παρὰ πότον ἐξῃτήσατο παρὰ Φιλίππῳ Σάτυρος, Αἰσχίνης μὲν ἐν τῷ περὶ τῆς Πρεσβείας (§ 156) φησί. Δημοσθένης δ' ἐν τῷ κατ' Αἰσχίνου (§ 193) φησὶν ὅτι Ἀπολλοφάνους θυγατέρας ἐξῃτήσατο καὶ ἔοικε μᾶλλον ἀληθεύειν· καὶ γὰρ Ἀριστοτέλης ἔν τινι τῶν πρὸς Φίλιππον Ἐπιστολῶν λέγει, ὡς Σατύρῳ τῷ ὑποκριτῇ τὰς Ἀπολλοφάνους θυγατέρας ἀφῆκεν. Eadem Photius et Suidas s. v. De re cf. A. Schæfer, *Demosthenes u. s. Zeit*, t. I, p. 221.

### 2 (641).

Vita Arist. Marc. p. 2 Robbe : Ἐτῶν δὲ γενόμενος ἑπτὰ καὶ δέκα, τοῦ Πυθοῖ θεοῦ χρήσαντος αὐτῷ φιλοσοφεῖν παρ' Ἀθηναίοις (Ἀθήνησι cod.), φοιτᾷ Σωκράτει, καὶ συνῆν [τούτῳ τὸν] μέχρι τελευτῆς αὐτοῦ χρόνον πλὴν ὀλίγον ὄντα· μετὰ δὲ τοῦτον φοιτᾷ Πλάτωνι, καὶ συνῆν τούτῳ τὸν μέχρι τελευτῆς αὐτοῦ χρόνον εἰκοσαετὴς τυγχάνων (corr. εἰκοσαετῆ τυγχάνοντα collat. Diogen. Laert. V, 9, Dionys. Halic. Op. Rhet. p. 728 Reiske) ὡς αὐτὸς ἐπιστέλλων Φιλίππῳ λέγει. In vetere versione latina : *Factus autem XVII annorum, et Pythia præcipiente ipsum philosophari, mittitur Athenas : ubi adhæsit Socrati, et moratus est cum eo tribus annis, usque ad finem vitæ ipsius. Mortuo autem Socrate, Platonem adit, cum eoque annos viginti versatus est, sicut ipse declarat mittens Philippo.*

Diog. Laert. V, 9 : Φησὶ δ' Ἀπολλόδωρος ἐν Χρονικοῖς ... παραβαλεῖν δὲ Πλάτωνι καὶ διατρῖψαι παρ' αὐτῷ εἴκοσιν ἔτη, ἑπτὰ καὶ δέκα ἐτῶν συστάντα. Eundem errorem quo laborat Vita Marciana, in Pseudo-Ammonii quoque Vita reperies ad calcem Diogenis Laertii ed. Didot. p. 10, 23 : Ἑπτακαίδεκα δ' ἐτῶν γενόμενος καὶ τῆς Πυθίας κελευούσης αὐτῷ φιλοσοφεῖν στέλλεται ἐν Ἀθήναις, ἔνθα φοιτᾷ Σωκράτει καὶ σύνεστι τούτῳ ἔτη τρία. Τελευτήσαντος δὲ τοῦ Σωκράτους φοιτᾷ Πλάτωνι καὶ τούτῳ σύνεστιν ἔτη εἴκοσι κτλ.

### 3 (642).

Julian. Orat. VII, p. 442 Petav. : Πῶς γὰρ οὐκ ἔμελλεν ὁ τῶν θεῶν εἵνεκεν εἰς Ὀλυμπίαν βαδίζων, ὁ τῷ Πυθίῳ πεισθεὶς καὶ φιλοσοφήσας ὥσπερ Σωκράτης ὕστερον, ὡς Ἀριστοτέλης· φησὶ γὰρ καὶ αὐτὸς εἶναι Πύθιον οἴκοι παρ' ἑαυτῷ, ὅθεν αὐτῷ καὶ ἡ ὁρμὴ πρὸς φιλοσοφίαν ἐγένετο· μὴ παριέναι τῶν ἀνακτόρων εἴσω, εἰ μὴ τοῦτο ἐξέκλινε τὸ ὑποθεῖναι νόμοις ἑαυτὸν καὶ δοῦλον ἀποφῆναι πολιτείας;

Sermo est de Diogene cynico de quo jam antea

---

EPISTOLÆ.

*Epistolæ ad Philippum.*

1.

Aristoteles in quadam epistola ad Philippum dicit illum Satyro histrioni Apollophanis filias manumisisse.

2.

Anno ætatis decimo et septimo, Pythia jubente ut se philosophiæ daret, apud Athenienses ad Socratem accessit et cum eo remansit omne tempus ad mortem usque, quod breve fuit. Post hunc accessit ad Platonem et cum eo versatus est usque ad ejus mortem annos viginti, ut ipse in Epistola ad Philippum dicit.

3.

Nam qui deorum causa ad Olympiam adierat : qui Apollini Pythio parens animum ad philosophiam adjunxerat; ut Socrates postea; ut Aristoteles, nam et iste domesticum apud se Pythium habere se dicebat, a quo ad philosophiam capessendam initiatus fuerat, nonne in

in eadem Oratione p. 396. Legendum igitur videtur ὥσπερ Σωκράτης, ὡς ὕστερον Ἀριστοτέλης. Illud vero αὐτὸς ad Diogenem potius, quam cum Rosio ad Aristotelem referendum esse puto.

4 (643).

Vita Arist. Marc. p. 6 ed. Robbe : Καὶ φαίνεται ἐν ταῖς Ἐπιστολαῖς θαυμάζων τὸν Πλάτωνα, καὶ συνιστὰς τοῖς βασιλεῦσι τοὺς Πλάτωνι κατὰ γένος κοινωνοῦντας.

Cf. quæ supra de Platonis Laudatione diximus, p. 320.

5 (644).

Vita Arist. Marc. p. 4 ed Robbe : Ὁ δὲ φιλόσοφος μέγα μέρος ὢν τῆς βασιλείας (Rosius c. ant. vers. lat. φιλοσοφίας, cf. Vita Pseudo-Amm.) ὀργάνῳ τῇ δυνάμει πρὸς εὐποιίαν ἐχρήσατο, ἕνα τε ἕκαστον εὐεργετῶν καὶ πόλεις ὅλας καὶ πάντας ἅμα. Ὅσα μὲν γὰρ ἕκαστον εὐεργέτησεν, αἱ γεγραμμέναι αὐτῷ κατὰ (πρὸς Robbe) τοὺς βασιλέας περί τινων ἐπιστολαὶ δηλοῦσιν. Ὅσα δὲ πόλεις ὅλας, τὰ Στάγειρα δηλοῖ, καὶ Ἐρεσσὸς ἡ Θεοφράστου καὶ Φανίου τῶν αὐτοῦ μαθητῶν πατρίς· τήν τε γὰρ ἑαυτοῦ πατρίδα Στάγειρα κατασκαφεῖσαν ὑπὸ Φιλίππου πείθει τὸν Ἀλέξανδρον δεύτερον κτίσαι (κτίζειν Robbe), καὶ χώρας ἑτέρας (χώραν ἑτέραν Robbe) αὐτῇ καταδιδόναι (προσδιδόναι Robbe) ... καὶ Ἐρεσσὸν μέλλουσαν ὑπὸ Φιλίππου πολιορκηθῆναι ἔπεισεν ἀφεθῆναι. Πολλὰ δὲ καὶ Ἀθηναίους εὐεργέτησεν ἐν τοῖς πρὸς Φίλιππον γράμμασιν, ὡς Ἀθηναίους ἐν τῇ ἀκροπόλει ἀνδριάντα αὐτῷ ἀναθεῖναι.

Similia leguntur in Pseudo-Ammonii Vita p. 11, 14 ad calcem Diogenis Laertii ed. Didot : Καὶ μέγα μέρος γέγονε τῆς τούτου (τοῦ Ἀλεξάνδρου scil.) βασιλείας· πολλὰ γὰρ ἐδυνήθη παρὰ τῷ βασιλεῖ καὶ τῇ δυνάμει δεόντως ἐχρήσατο, εὖ ποιῶν καὶ ἑκάστῳ ἰδίᾳ καὶ πᾶσι κοινῇ. Καὶ ὅτι μὲν πολλοὺς ἰδίᾳ εὖ ἐποίησε, δηλώσουσιν αἱ φερόμεναι αὐτοῦ συστατικαὶ Ἐπιστολαὶ περί τινων πρὸς τὸν βασιλέα· ὅτι δὲ καὶ κοινῇ πολλοὺς εὖ ἐποίησε δηλοῖ τὸ καὶ τὴν τῶν Σταγείρων πόλιν κατασκαφθεῖσαν πείθειν τὸν Ἀλέξανδρον αὖθις κτίζειν ... Καὶ τὴν Ἐρεσσὸν δὲ τὴν τοῦ Θεοφράστου πόλιν μέλλουσαν ἀδικηθῆναι ὑπὸ τοῦ βασιλέως Ἀλεξάνδρου ἐλύτρωσε τῆς ἀδικίας.

De meritis Aristotelis in patriam multi sunt qui narrant. Cf. Ælian. Var. Hist. XII, 54 : Ἀριστοτέλης τὰ δέοντα συμβουλεύων Ἀλεξάνδρῳ, πολλοῖς ὠφέλιμος γέγονεν, ἐξ ὧν καὶ τὴν πατρίδα κατῴκισε κατεσκαμμένην ὑπὸ Φιλίππου, III, 17. Plutarch. V. Alex. c. 7. Aristid. Orat. XII, t. I, p. 144 Dind., Dio Chrysost. Orat. II, t. I, p. 101, XLVII, t. II, p. 224 Reiske (v. fragm. 646), Plutarch. Non posse suavit. viv. sec. Epicur. c. 15. Ceterum epistolæ quas de Atheniensium rebus ad Philippum scripsisse dicitur Aristoteles, eædem fortasse fuerunt, atque quarum mentionem fecit Aristocles apud Eusebium Præpar. Evang. XV, 2. p. 791. Cf. supra p. 320.

ΕΠΙΣΤΟΛΑΙ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ.

6 (645).

Pseudo-Demetrius de Eloc. § 233 : Ἀριστοτέλης μέντοι καὶ ἀποδείξεσί που χρῆται ἐπιστολικαῖς. Οἷον διδάξαι βουλόμενος ὅτι ὁμοίως χρὴ εὐεργετεῖν τὰς μεγάλας πόλεις καὶ τὰς μικράς φησιν· « Οἱ γὰρ θεοὶ ἐπ' ἀμφοτέραις ἴσοι· ὥστ' ἐπεὶ αἱ Χάριτες

---

adyta ipsa libentissime esset ingressus, nisi hoc unum vitaret, ne se legibus ullis subjiceret, neve servituti reipublicæ ullius addiceret ?

4.

Ostendit se Aristoteles in Epistolis admiratorem Platonis, et regibus comparat eos qui genere cum Platone conjuncti essent.

5.

Philosophus quum multum apud Alexandrum valuisset, potentia usus est quasi instrumento ad benefaciendum, prospiciens saluti cum singulorum tum urbium totarum tum omnium simul. Quæ enim contulit beneficia in singulos ostendunt litteræ ab eo de nonnullis scriptæ ad reges. Quæ in totas urbes Stagira declarant et Eressus Theophrasti atque Phaniæ ipsius discipulorum patria. Stagira enim ipsius patriam a Philippo deleta persuasit Alexandro ut iterum exstrueret, adjectis præterea agris... Eressum quum in eo esset Philippus ut vastaret, eum induxit ut relinqueret. Athenienses quoque multum juvit litteris ad Philippum datis, ita ut illi Athenienses statuam auream in arce posuerint.

Nam plurimum apud regem valuit Aristoteles, potentiaque sua bene usus omnium saluti tam privatim quam publice prospexit. Ac privatim quidem de multis eum bene meruisse, declarabunt ejus, quæ feruntur, commendatitiæ de nonnullis ad regem datæ litteræ : verum publice quoque multis eum profuisse ex eo maxime apparet, quod Stagirorum urbem eversam ipsius suasu Alexander instauravit... Eressum quoque, Theophrasti patriam, ab imminenti regis Alexandri injuria liberavit.

*Epistolæ ad Alexandrum.*

6.

Aristoteles sane et demonstrationibus quibusdam locis utitur epistolarum propriis : ceu docere volens, quod eodem pacto decet beneficia conferre in magnas civitates et in parvas inquit : « Dii enim in utrisque

θεαί, ἴσαι ἀποκείσονταί σοι παρ' ἀμφοτέραις. » Καὶ γὰρ τὸ ἀποδεικνύμενον αὐτὸ ἐπιστολικὸν καὶ ἡ ἀπόδειξις αὐτή.

7 (646).

Dio Chrysost. Orat. XLVII, p. 601 Emper. : Καὶ τὸν Ἀριστοτέλην ἐνίοτε ἐμακάριζον, ὅστις Σταγειρίτης ὤν· τὰ δὲ Στάγειρα κώμη τῆς Ὀλυνθίας ἦν· ἁλούσης δὲ Ὀλύνθου συγγενόμενος Ἀλεξάνδρῳ καὶ Φιλίππῳ διεπράξατο οἰκισθῆναι πάλιν τὸ χωρίον, καὶ μόνον αὐτὸν ἔφασκον εὐτυχῆσαι τὴν εὐτυχίαν ταύτην ὥστε τῆς πατρίδος οἰκιστὴν γενέσθαι. Μεταξὺ δὲ πρῴην ἐνέτυχον ἐπιστολῇ τινι, ἐν ᾗ ἐστι μετανοῶν καὶ ὀδυρόμενος καὶ λέγων ὅτι τούτων τινὲς καὶ τὸν βασιλέα καὶ τοὺς ἀφικνουμένους σατράπας διαφθείρουσιν, ὥστε μηδὲν ἀγαθὸν γενέσθαι μηδὲ ὅλως κατοικισθῆναι τὴν πόλιν. Ὅπου δὲ τὸ κατοικισθῆναι τοῖς ἐκπεσοῦσι καὶ τοῦτο ἐλύπει τινάς, εἰ φυγάδες καὶ ἀπόλιδες πατρίδα ἕξουσι καὶ πολιτεύσονται κατὰ νόμους ἐν ἐλευθερίᾳ, μᾶλλον δ' ᾑροῦντο διῳκίσθαι κατὰ κώμας τοῖς βαρβάροις ὁμοίως ἢ σχῆμα πόλεως καὶ ὄνομα ἔχειν· ἦ που προσήκει θαυμάζειν καὶ εἰ ἄλλο τι λυπεῖ τινάς; Ὁ δ' οὖν Ἀριστοτέλης ἐπιστέλλων γράφει ὡς τοῖς πράγμασιν ἀπειρηκώς· φησὶ γὰρ αἱρεῖν τοὺς δακτύλους τοὺς Ἰδαίους· κἀμὲ νομίζετε καὶ εἴ τινές εἰσιν ἕτεροι. Καὶ γὰρ δὴ πλεῖον ἴσχυσεν ἡ τῶν ἀνθρώπων ἐκείνων κακοδαιμονία τῆς τοῦ Ἀριστοτέλους σπουδῆς, ὥστε οὐκ εἴασαν προβῆναι τὸ κώμιον εἰς ἀξίωμα πόλεως καὶ νῦν ἔτι ἀοίκητόν ἐστιν. Pro ὥστε... ὅλως scribendum esse conjecit Rosius : ὥστε μηδὲν ἂν κακὸν γενέσθαι τὸ μηδ' ὅλως. De Dactylis Idæis cf. H. Steph. s. v., Preller, *Griech. Mythol.* t. I, p. 571.

8 (647).

Ælian. Var. Hist. XII, 54 : Ἀλέξανδρον Ἀριστοτέλης ὀργιζόμενον πραῦναι βουλόμενος καὶ παῦσαι χαλεπαίνοντα πολλοῖς ταυτὶ πρὸς αὐτὸν γέγραφεν· « Ὁ θυμὸς καὶ ἡ ὀργὴ οὐ πρὸς ἥσσους (codd. ἴσους, em. Rutgers. *Var. Lect.* I, 6) ἀλλὰ πρὸς τοὺς κρείττονας γίνεται· σοὶ δὲ οὐδεὶς ἴσος. »

Pergit Ælianus : Ἀριστοτέλης τὰ δέοντα συμβουλεύων Ἀλεξάνδρῳ πολλοῖς ὠφέλιμος γέγονεν, ἐξ ὧν καὶ τὴν πατρίδα κατῴκισε κατεσκαμμένην ὑπὸ Φιλίππου, ita ut ad eandem epistolam hæc omnia pertinere videantur ad quæ superiora referenda sunt, de exædificatione scilicet Stagirorum.

9 (648).

A. Gellius Noct. att. XX, 5 : *Eos libros generis acroatici quum in vulgus ab eo* (Aristotele) *editos rex Alexander cognovisset... literas ad Aristotelem misit non eum recte fecisse quod disciplinas acroaticas, quibus ab ipso eruditus foret libris foras editis invulgasset... exempla utrarumque literarum sumpta ex Andronici philosophi libro subdidi. Amavi autem prorsus in utriusque epistola brevitatis elegantissimæ filum tenuissimum :*

Ἀλέξανδρος Ἀριστοτέλει εὖ πράττειν.

Οὐκ ὀρθῶς ἐποίησας, ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων. Τίνι γὰρ ἔτι διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ καθ' οὓς ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί; ἐγὼ δὲ βουλοίμην ἂν ταῖς περὶ τὰ ἄριστα ἐμπειρίαις, ἢ ταῖς δυνάμεσι διαφέρειν. Ἔρρωσο.

Ἀριστοτέλης βασιλεῖ Ἀλεξάνδρῳ εὖ πράττειν.

---

æquales, quapropter, quia Gratiæ deæ, æquales apud te constituentur a te apud utrasque. » Etenim ipsum quod demonstratur epistolæ accommodatum est, et demonstratio hæc ipsa.

7.

Atque Alexandrum aliquando beatum esse dicebam, qui quum Stagiris esset (Stagira autem vicus erant agri Olynthiaci), captaque Olyntho versaretur apud Alexandrum et Philippum impetravit vicum reædificari, eumque unum esse dicebant hanc nactum esse felicitatem, ut patriæ esset conditor. Interim autem nuper incidi in epistolam quandam, in qua eum ejus rei cœpit pœnitentia et lamentatur dicitque quod illorum quidam et regem et advenientes satrapas corrumperent, ut nihil boni possit effici, neque omnino eo rem deduci posse, ut civitas inhabitaretur, nedum ut inhabitaretur ab ejectis. Et hoc contristare quosdam, quod quum essent exules et civitate privati, patriam essent habituri et rempublicam gubernaturi, secundum leges in libertate; malebantque gubernari vicorum more, ut barbari, quam formam habere et nomen civitatis. Nunc ubi convenit admirari, si quos et aliud contristet? Aristoteles igitur in ea epistola ita scripsit, ut qui de rebus desperasset. Ait enim se tollere Idæos dactylos : id quod et me putate et si qui sunt alii. Namque plus obtinuit illorum hominum infelicitas, quam Aristotelis illud studium. Quare non sinebant viculum progredi ad civitatis dignitatem atque etiamnum non est habitatum.

8.

Aristoteles Alexandrum irascentem mitigare volens et corrigere vitium animi, quo pleraque indigne ferebat, hoc modo ad eum scripsit : « Indignatio et ira non adversus minores sed adversus superiores exsistere solet : tibi vero nullus par est. »

9.

*Aristoteles Alexandro regi S.*

Scripsisti ad me de sermonibus auscultatoriis hac sententia, quod putes eos clam fuisse servandos et custodiendos. Scito igitur eos editos et non editos esse. Intelligi enim ab his solum possunt qui nos audiverunt.

Ἔγραψάς μοι περὶ τῶν ἀκροαματικῶν λόγων οἰόμενος δεῖν αὐτοὺς φυλάττειν ἐν ἀπορρήτοις. Ἴσθι οὖν αὐτοὺς καὶ ἐκδεδομένους καὶ μὴ ἐκδεδομένους· ξυνετοὶ γὰρ μόνοις τοῖς ἡμῶν ἀκούσασιν. Ἔρρωσο.

**Plutarch. Vita Alexandri c. 7 :** Ἔοικε δὲ Ἀλέξανδρος οὐ μόνον τὸν ἠθικὸν καὶ πολιτικὸν παραλαβεῖν λόγον, ἀλλὰ καὶ τῶν ἀπορρήτων καὶ βαθυτέρων διδασκαλιῶν, ἃς οἱ ἄνδρες ἰδίως ἀκροαματικὰς καὶ ἐποπτικὰς προσαγορεύοντες οὐκ ἐξέφερον εἰς πολλούς, μετασχεῖν. Ἤδη γὰρ εἰς Ἀσίαν διαβεβηκὼς καὶ πυθόμενος λόγους τινὰς ἐν βιβλίοις περὶ τούτων ὑπ' Ἀριστοτέλους ἐκδεδόσθαι, γράφει πρὸς αὐτὸν ὑπὲρ φιλοσοφίας παρρησιαζόμενος ἐπιστολήν, ἧς ἀντίγραφόν ἐστιν· « Ἀλέξανδρος κτλ. » Ταύτην μὲν οὖν τὴν φιλοτιμίαν αὐτοῦ παραμυθούμενος Ἀριστοτέλης ἀπολογεῖται περὶ τῶν λόγων ἐκείνων ὡς καὶ ἐκδεδομένων καὶ μὴ ἐκδεδομένων. Ἀληθῶς γὰρ ἡ μετὰ τὰ φυσικὰ πραγματεία πρὸς διδασκαλίαν καὶ μάθησιν οὐδὲν ἔχουσα χρήσιμον ὑπόδειγμα τοῖς πεπαιδευμένοις ἀπ' ἀρχῆς γέγραπται.

**David in Categ. p. 27, A, 26 :** Καὶ Ἀριστοτέλης ἐγκαλούμενος ὑπὸ Ἀλεξάνδρου ἐπὶ τῇ ἐκδόσει τῶν αὐτοῦ συγγραμμάτων, καὶ ἐκδέδοται φησί, καὶ οὐκ ἐκδέδοται, αἰνιττόμενος τὴν ἀσάφειαν. **Cf. Simplic. in Categ. f. 2 verso, B. Ad eandem rem alludit quoque Themistius Orat. XXVI, p. 319, D, Hard. :** Τοῦτο δὲ (τὸ μυστικὸν) ἐμηχανήσατο ὅπως καὶ ἔχοντες μὴ ἔχωσιν οἱ ἀμύητοι.

### ΕΠΙΣΤΟΛΑΙ ΠΡΟΣ ΑΝΤΙΠΑΤΡΟΝ.

**10 (649).**

**Aristocles in libro de Philosophia VII apud Euseb. Præp. Evang. XV, 2 p. 793, B, ed. Viger. :** Τὰ μὲν οὖν ἄλλα (in Aristotelem convicia) προδήλως πέπλασται, δύο δὲ ταῦτα δοκεῖ πιστεύεσθαι δι' ἃ ψέγουσί τινες αὐτόν· ἓν μὲν ὅτι τὴν Ἑρμείου γήμειε φύσει μὲν ἀδελφήν, θετὴν δὲ θυγατέρα Πυθιάδα, κολακεύων αὐτόν... περὶ δὲ τοῦ γάμου τοῦ Πυθιάδος ἀποχρώντως αὐτὸς ἐν ταῖς πρὸς Ἀντίπατρον Ἐπιστολαῖς ἀπολελόγηται· τεθνεῶτος γὰρ Ἑρμείου διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν ἔγημεν αὐτήν, ἄλλως μὲν σώφρονα καὶ ἀγαθὴν οὖσαν, ἀτυχοῦσαν μέντοι διὰ τὰς καταλαβούσας συμφορὰς τὸν ἀδελφὸν αὐτῆς.

**11 (650).**

**Plutarch. de Animi Tranquill. c. 13 :** Ἀριστοτέλης δὲ πρὸς Ἀντίπατρον γράφων· « Οὐκ Ἀλεξάνδρῳ μόνον, ἔφη, προσήκει μέγα φρονεῖν ὅτι κρατεῖ πολλῶν ἀνθρώπων, ἀλλ' οὐχ ἧττον οἷς ὑπάρχει περὶ θεῶν ἃ δεῖ δοξάζειν. »

**Eadem de suâ ipsius Laude c. 16 :** Οὕτω δὲ καὶ πρὸς Ἀλέξανδρον (id est non in epistola ad Alexandrum, sed illud πρὸς ex comparatione positum est) ὁ Ἀριστοτέλης οὐ μόνον ἔφη τοῖς πολλῶν κρατοῦσιν ἐξεῖναι μέγα φρονεῖν ἀλλὰ καὶ τοῖς περὶ θεῶν δόξας ἀληθεῖς ἔχουσι, **de Profectu in virt. c. 6 :** Ὁ δὲ Ἀριστοτέλης πρὸς Ἀντίπατρον περὶ Ἀλεξάνδρου γράφων ἔφη μὴ μόνον ἐκείνῳ προσήκειν ὅτι πολλῶν κρατεῖ μέγα φρονεῖν, ἀλλ' οὐδὲν ἧττον εἴ τις ὀρθῶς γινώσκει περὶ θεῶν.

**Eundem hunc locum respexerit Julianus in Ep. ad Themistium p. 487 Petav. :** Ἐγὼ μὲν οὖν Ἀλεξάνδρου φημὶ μείζονα τὸν Σωφρονίσκου κατεργάσασθαι... καὶ τοῦτο οὐκ ἐγὼ μόνος, Ἀριστοτέλης δὲ πρότερον ἔοικεν ἐννοήσας εἰπεῖν, ὅτι μὴ μεῖον αὐτῷ προσήκει φρονεῖν ἐπὶ τῇ θεολογικῇ συγγραφῇ τοῦ καθελόντος τὴν Περσῶν δύναμιν. Καί μοι δοκεῖ τοῦτο ἐκεῖνος ὀρθῶς ξυννοῆσαι· νικᾶν μὲν γὰρ ἀνδρείας ἐστὶ μάλιστα, καὶ τῆς τύχης· κείσθω δὲ εἰ βούλει, καὶ τῆς ἐντρεχοῦς ταύτης φρονήσεως· ἀληθεῖς δὲ ὑπὲρ θεοῦ δόξας ἀναλαβεῖν, οὐκ ἀρετῆς μόνον τελείας ἔργον ἐστίν· ἀλλ' ἐπιστήσειεν ἄν τις εἰκότως πότερον χρὴ τὸν τοιοῦτον ἄνδρα ἢ θεὸν καλεῖν.

**12 (651).**

**Demetrius de Elocut. § 223 :** Ἐπεὶ δὲ ἐπιστολικὸς χαρακτὴρ δεῖται ἰσχνότητος, καὶ περὶ αὐτοῦ λέξομεν. Ἀρτέμων μὲν οὖν ὁ τὰς Ἀριστοτέλους ἀναγράψας ἐπιστολάς φησιν, ὅτι δεῖ ἐν τῷ αὐτῷ τρόπῳ διάλογόν τε γράφειν καὶ ἐπιστολάς· εἶναι γὰρ τὴν ἐπιστολὴν οἷον τὸ ἕτερον μέρος τοῦ διαλόγου· § 224 : καὶ λέγει μέν τι ἴσως, οὐ μὴν ἅπαν· δεῖ γὰρ ὑποκατεσκευάσθαι πως μᾶλλον τοῦ διαλόγου τὴν ἐπιστολήν. Ὁ μὲν γὰρ μιμεῖται αὐτοσχεδιάζοντα, ἡ δὲ γράφεται καὶ δῶρον πέμπεται τρόπον τινά § 225 : τίς γοῦν οὕτως ἂν διαλεχθείη πρὸς φίλον ὥσπερ ὁ Ἀριστοτέλης πρὸς Ἀντίπατρον ὑπὲρ τοῦ φυγάδος γράφων τοῦ

---

*Epistolæ ad Antipatrum.*

10.

De nuptiis autem Pythiadis satis cumulate ipse in epistolis, quas scripsit ad Antipatrum respondit.

11.

Aristoteles ad Antipatrum scribebat : « Non solum Alexandrum debere multum sibi tribuere ob imperium in tot homines : nihilo minus id licere iis, qui recte de deo sentiant. »

12.

Quia autem et nota epistolaris eget tenuitate et de ipsa dicemus. Artemon igitur, qui descripsit Aristotelis epistolas, ait, oportere eodem stilo dialogum scribere et epistolam : esse enim epistolam tanquam alteram partem dialogi; et dicit aliquid fortasse, non tamen omne : oportet enim factam esse aliquo modo magis quam dialogum epistolam : hic enim imitatur ex tempore dicentem, hæc autem scribitur et donum mittitur aliquo-

γέροντός φησιν· « Εἰ δὲ πρὸς ἁπάσας οἴχεται γᾶς (e conj. Valckenarii ad Herod. IV, 198. codd. τὰς) φυγὰς οὗτος ὥστε μὴ κατάγειν, δῆλον ὡς τοῖσγε εἰς Ἅδου κατελθεῖν βουλομένοις οὐδεὶς φθόνος. » Ὁ γὰρ διαλεγόμενος ἐπιδεικνυμένῳ ἔοικε μᾶλλον οὐ λαλοῦντι.

13 (652).

Ælian. Var. Hist. XIV, 1 : Ἀριστοτέλης ὁ Νικομάχου σοφὸς ἀνὴρ καὶ ὢν καὶ εἶναι δοκῶν, ἐπεί τις αὐτοῦ ἀφείλετο τὰς ψηφισθείσας αὐτῷ ἐν Δελφοῖς τιμάς, ἐπιστέλλων πρὸς Ἀντίπατρον περὶ τούτων φησίν· «Ὑπὲρ τῶν ἐν Δελφοῖς ψηφισθέντων μοι καὶ ὧν ἀφήρημαι νῦν οὕτως ἔχω, ὡς μήτε μοι σφόδρα μέλλειν ὑπὲρ αὐτῶν μήτε μοι μηδὲν μέλειν. » Οὐκ ἂν δὲ εἴη φιλοδοξία ταῦτα, οὐδ' ἂν καταγνοίην ἔγωγε τοιοῦτόν τι Ἀριστοτέλους ἀλλ' εὖ φρονῶν ᾤετο, μὴ ὅμοιον εἶναι, ἀρχήν τινα μὴ λαβεῖν καὶ λαβόντα ἀφαιρεθῆναι. Τὸ μὲν γὰρ οὐδὲν μέγα, τὸ μὴ τυχεῖν· τὸ δὲ ἀλγεινόν, τὸ τυχόντα εἶτα ἀποστερηθῆναι.

14 (653).

Ad eandem epistolam referendam puto sententiam Aristoteli tributam, apud Maximum C. μς' p. 645 ed. Combef. : Ἀξίωμα μέγιστόν ἐστιν οὐ τὸ κεχρῆσθαι τιμαῖς ἀλλὰ τὸ ἄξιον ἑαυτὸν εἶναι νομίζεσθαι. Eadem Arsenius IV, 44, ubi pro ἑαυτὸν rectius αὐτῶν.

15 (654).

Vita Arist. Marciana p. 8 Robbe : Ἐπαναστάντων δὲ αὐτῷ τῶν Ἀθηναίων, ὑπεχώρησεν εἰς Χαλκίδα τοσοῦτον ὑπειπὼν ὡς· « Οὐ συγχωρήσω Ἀθηναίοις δὶς ἁμαρτεῖν εἰς φιλοσοφίαν. » Ἐπεὶ δὲ τὰ αὐτὰ καθήκοντα οὐκ ἦν (ita Robbe, τὰ καθήκοντα ἦν in codice legi affirmat Rosius) πολίτῃ καὶ ξένῳ περὶ τὴν τῶν Ἀθηναίων πόλιν, ἐπιστέλλων Ἀντιπάτρῳ γράφει· » Τὸ Ἀθήνησι διατρίβειν ἐργῶδες·

Ὄγχνη γὰρ ἐπ' ὄγχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ, (Od. VII, 120).

τὴν διαδοχὴν τῶν συκοφαντούντων αἰνιττόμενος.

Similiter Vita Pseudo-Ammonii p. 11, 33 Westerm. : Μετέπειτα δὲ ἀνταρσίας γενομένης ἐν τοῖς Ἀθηναίοις ἦλθεν ὁ Ἀριστοτέλης ἐν Χαλκίδι, εἰρηκὼς τοῖς Ἀθηναίοις ὅτι· « Οὐκ ἐάσω ὑμᾶς δὶς εἰς φιλοσοφίαν ἁμαρτεῖν. » Καὶ γὰρ ἤδη ἦσαν τὸν Σωκράτην φονεύσαντες οἱ Ἀθηναῖοι. Ἐδήλωσε δὲ καὶ Ἀντιπάτρῳ τῷ βασιλεῖ, ὅτι τὸ ἐν Ἀθήνησιν ἐνδιατρίβειν ἐργῶδες. Εἶπε δὲ καὶ τὸ Ὁμηρικὸν ἔπος·

ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ,

ὡς ἐκ τούτων ἐλέγχων τὰς τῶν Ἀθηναίων συκοφαντίας.

David in Categ. p. 26, B, 25 Brand. misere diversa miscet : Ὅτι γὰρ δριμύς ἐστιν (ὁ Ἀριστοτέλης ἐν ταῖς Ἐπιστολαῖς), δηλοῖ αὐτοῦ μία Ἐπιστολή. Μετὰ γὰρ θάνατον Σωκράτους ὑπεξελθὼν Ἀθηνῶν καὶ διατρίβων ἐν Χαλκίδι ἀνεκαλεῖτο ὑπὸ Ἀθηναίων ἐπανελθεῖν, καὶ μὴ πεισθεὶς ἀντέγραψεν οὕτως· « Οὐ μὴ πείσω (ἐάσω leg.) Ἀθηναίους δὶς ἁμαρτεῖν εἰς φιλοσοφίαν, παρ' οἷς,

ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ. »

Διὰ δὲ τοῦ « σῦκον δ' ἐπὶ σύκῳ » ᾐνίξατο τοὺς συκοφάντας πολλοὺς ὄντας Ἀθήνησι καὶ ἀεὶ δεχομένους αὐτοὺς καὶ μηδέποτε λήγοντας. Cf. Origenes c. Cels. I, 65.

16 (655).

Pseudo-Demetr. de Elocut. § 144 : Καὶ ἐξ ἰδιωτικοῦ δὲ ὀνόματος γίγνεται (χάρις), ὡς ὁ Ἀριστοτέλης· « Ὅσῳ, γάρ φησί, μονώτης εἰμί, φιλομυθότερος γέγονα· » καὶ ἐκ πεποιημένου, ὡς ὁ αὐτὸς ἐν

---

modo. Quis igitur sic loqueretur cum amico, ut Aristoteles ad Antipatrum, super exule sene scripsit, qui inquit : « Si autem ad omnes terras hic abit, ut non reducere liceat, planum est non esse invidendum his qui apud inferos sunt, redire volentibus. » Qui enim sic disputat, demonstranti magis similis est, non familiariter loquenti.

13.

Aristoteles filius Nicomachi, re ipsa et opinione hominum vir sapiens, quum quidam ei decretos sibi Delphis honores ademisset, scribens de his ad Antipatrum ait : « De iis, quæ Delphis mihi decreta sunt, quibusque nunc privatus sum, sic me habeo, ut neque magnopere de iis laborem, nec tamen nihil omnino curem.

14.

Maximus honor non est usum esse quendam honoribus, sed iis dignum judicari.

15.

Conspirantibus in Aristotelem Atheniensibus in Chalcidem concessit hoc dicens : » Non sinam Athenienses bis in philosophiam peccare. » Quum vero ipsi civi et hospiti justa non darentur, de Atheniensium civitate ita in Epistola ad Antipatrum scripsit : « Laboriosum est Athenis manere :

Pyrus enim supra pyrum senescit et ficus supra ficum,

recte ita successionem sycophantarum indicans.

16.

Et e vulgari utique verbo nascitur dictionis lepus, ut quum Aristoteles inquit : « Quanto magis solus (μονώτης) sum, tanto magis cupidus fabularum fio, » et e facto ut idem in eodem : « Quanto magis solus et mecum ipse sum (αὐτίτης), tanto magis fabularum cupidus fio. » Illud enim μονώτης consuetudinis idiotarum jam est; illud vero αὐτίτης factum ex αὐτός.

τῷ αὐτῷ· « Ὅσῳ γὰρ αὐτίτης καὶ μονώτης εἰμί, φιλομυθότερος γέγονα. » Τὸ μὲν γὰρ μονώτης ἰδιωτικωτέρου ἔθους ἤδη ἐστί, τὸ δὲ αὐτίτης πεποιημένου ἐκ τοῦ αὐτοῦ.

Propter illud : ἐν τῷ αὐτῷ de dialogo etiam cogitare possis, præsertim quum e dialogo περὶ Δικαιοσύνης locum attulerit Demetrius. Ceterum eodem hoc loco, non addito nomine Aristotelis, iterum utitur § 164 : Τὸ δὲ γέλοιον καὶ ὀνομάτων ἐστὶν εὐτελῶν καὶ κοινοτέρων, ὥσπερ ἔχει τό· « Ὅσον γὰρ αὐτίτης καὶ μονώτης εἰμί, φιλομυθότερος γέγονα. Cf. § 97 : Ποιητέον μέντοι ἤτοι τὰ μὴ ὠνομασμένα, οἷον ὁ τὰ τύμπανα καὶ τὰ ἄλλα τῶν μαλθακῶν ὄργανα, κιναιδείας εἰπὼν καὶ Ἀριστοτέλης τὸν ἐλεφαντιστήν (Hist. An. II, 1)· ἢ παρὰ τὰ κείμενα παρονομάζοντα, οἷον ὡς τὸν σκαφίτην τις ἔφη τὸν σκάφην ἐρέσσοντα, καὶ Ἀριστοτέλης τὸν « αὐτίτην » οἷον μόνον αὐτὸν ὄντα.

17 (656).

Pseudo-Demetr. de Elocut. § 29 : Γίνεται μέντοι γε χρήσιμά ποτε (τὰ ὁμοιοτέλευτα), ὡς Ἀριστοτέλης φησίν· « Ἐγὼ ἐκ μὲν Ἀθηνῶν εἰς Στάγειρα ἦλθον διὰ τὸν βασιλέα τὸν μέγαν, ἐκ δὲ Σταγείρων εἰς Ἀθήνας διὰ τὸν χειμῶνα τὸν μέγαν· » Εἰ γοῦν ἀφέλοις τὸ ἕτερον μέγαν, συναφαιρήσῃ καὶ τὴν χάριν· τῇ γὰρ μεγαληγορίᾳ συνεργεῖ τὰ τοιαῦτα κῶλα, ὁποῖα τῶν Γοργίου τὰ πολλὰ ἀντίθετα καὶ τῶν Ἰσοκράτους.

Cf. § 154 : Πολλάκις δὲ καὶ κῶλα ὅμοια ἐποίησε χάριν, ὡς ὁ Ἀριστοτέλης· « Ἐκ μὲν Ἀθηνῶν, φησίν, ἐγὼ εἰς Στάγειρα ἦλθον κτέ. » καταλήξας γὰρ ἐν ἀμφοτέροις τοῖς κώλοις εἰς τὸ αὐτὸ ὄνομα ἐποίησε τὴν χάριν. Ἐὰν δ' οὖν ἀποκόψῃς τοῦ ἑτέρου κώλου τὸ μέγαν, συναφαιρεῖται καὶ ἡ χάρις.

## ΕΞ ΑΔΗΛΩΝ ΕΠΙΣΤΟΛΩΝ.

18 (657).

Pseudo-Demetr. de Elocut. § 230 : Εἰδέναι δὲ χρὴ ὅτι οὐχ ἑρμηνεία μόνον ἀλλὰ καὶ πράγματά τινα ἐπιστολικά ἐστιν. Ἀριστοτέλης γοῦν ὃς μάλιστα ἐπιτετευχέναι δοκεῖ τοῦ τύπου τοῦ ἐπιστολικοῦ· « Τοῦτο δὲ οὐ γράφω σοι, φησίν· οὐ γὰρ ἦν ἐπιστολικόν. » Ib. § 231 : Εἰ μὲν γάρ τις ἐν ἐπιστολῇ σοφίσματα γράφει καὶ φυσιολογίας, γράφει μέν, οὐ μὴν ἐπιστολὴν γράφει. Φιλοφρόνησις γὰρ βούλεται εἶναι ἡ ἐπιστολὴ σύντομος καὶ περὶ ἁπλοῦ πράγματος ἔκθεσις καὶ ἐν ὀνόμασιν ἁπλοῖς.

Similiter Speusippus in Epistola ad Philippum, in Socrat. Ep. 28 Orelli : Ἀλλὰ περὶ μὲν τούτων οὐκ ἐν ἐπιστολῇ πρὸς σὲ μηκυντέον.

19 (658).

Joannes Lydus de Mensibus IV, 62 : Τὴν Τύχην Φορτοῦναν λέγουσιν οἱ Ῥωμαῖοι ἀπὸ τῆς φορᾶς, ἔνθουν ὠφέλειαν. Ἀριστοτέλης· « Εἰ ἔστιν ἀρετή, οὐκ ἔστι τύχη· ἄνω γὰρ καὶ κάτω τὰ τῆς τύχης ἐν τοῖς ἀνθρωπίνοις γυμνάζεται πράγμασι πλούτῳ τε καὶ διαφερόντως ἀδικίᾳ. Οἱ δὲ πρὸς ἀρετὴν ἔχοντες καὶ θεοῦ μεμνημένοι καὶ κρείττονας ἐπὶ τῶν μακαρίων καὶ ἀΰλων πραγμάτων ἐλπίδας σαλεύοντες καταφρονοῦσι τῶν τῇδε καλῶν· οὐδὲν γὰρ ἀσφαλὲς οὐδὲ κεκριμένον ἐστὶν ἐπὶ τῆς τύχης, ὡς Εὐριπίδης φησί (Cf. Eurip. Alcest. v. 785 et fragm. 936 Nauck.).

Eodem loco supra jam usus erat IV, 7 : Οἱ Ῥωμαῖοι... αὐτὴν (τὴν Τύχην scil.)... πάντων ἡγεῖσθαι νενομίκασιν, Φορτοῦναν αὐτὴν ἀπὸ τῆς φορᾶς ἐμφερῶς ὀνομάσαντες. Οἱ μὲν οὖν πρὸς ἀρετὴν ἔχοντες καὶ θεοῦ μεμνημένοι καὶ κρείττονας ἐπὶ τῶν ἀΰλων καὶ μακαρίων πραγμάτων ἐλπίδας σαλεύοντες καταφρονοῦσι τῶν τῇδε καλῶν. Εἰ μὲν γὰρ τύχη ἐστί, οὐδὲν δεῖ θεοῦ· εἰ δὲ θεὸς σθένει, οὐδὲν ἡ τύχη· εἰκαῖον γάρ τι καὶ ἀνούσιον τὸ τῆς τύχης ὄνομα.

Licet in Anonymi indice (App. 13) citetur titulus περὶ Τύχης γ', de his tamen libris, male fortasse pro περὶ Ψυχῆς γ' positis, nullo modo cogitari poterit, nec omnino, ut arbitror, de dialogo, ut

---

17.

Sunt tamen utilia quandoque (similiter desinentia membra *scil.*), ut Aristoteles inquit: « Ego Athenis Stagira veni propter regem magnum, Stagiris vero Athenas propter frigus magnum. « Si igitur abstuleris alterum magnum, una auferes et venustatem : amplæ enim dictioni prodesse possunt hujuscemodi membra.

EX INCERTIS EPISTOLIS.

18.

Scire autem oportet, non solum elocutionem, verum etiam res quasdam esse accommodatas epistolis. Aristoteles sane, qui præter ceteros videtur consecutus formam epistolarem : « Hoc autem non scribo ad te, inquit, non enim epistolæ accommodatum est. » Si enim aliquis in epistola sophismata scribit et naturæ rationes, scribit quidem; non tamen epistolam scribit : expressio enim quædam amoris debet esse epistola, concisa et de simplici re expositio, et in nominibus simplicibus.

19.

Aristoteles : « Si est virtus, non est fortuna : sursum enim ac deorsum res quæ a fortuna pendent in humanis exercentur rebus, divitiis et maxime injuria. Ad virtutem autem qui conversi sunt et dei memores, et meliores in rebus beatis et materiæ expertibus spes agitant, despiciunt ea quæ in hac terra sunt bona : nihil autem securum aut exploratum in fortuna est, ut ait Euripides. »

τοὺς ἀναξίως ἀτυχοῦντας ἐλεεῖν· οἶκτος μὲν γὰρ ἡμέρου ψυχῆς ἐστὶ σημεῖον, χαλεπότης δὲ ἀπαιδεύτου· αἰσχρὸν γὰρ καὶ σχέτλιον ἀρετὴν ἀτυχοῦσαν περιορᾶν. Ὅθεν ἐπαινῶ καὶ τὸν ἡμέτερον γνώριμον Θεόφραστον λέγοντα τὴν χάριν ἀμετάβλητον εἶναι καὶ καλὸν καρπὸν φέρειν τὸν παρὰ τῶν εὖ παθόντων ἔπαινον. Διόπερ δεῖ τοὺς νοῦν ἔχοντας τῶν ἀνθρώπων εἰς πολλοὺς αὐτὴν κατατίθεσθαι, νομίζοντας χωρὶς τῆς εὐφημίας ἐρανόν τινα τοῦτον αὐτοῖς ὑπάρξειν ἐν ταῖς μεταβολαῖς τῶν πραγμάτων, καὶ εἴγε μὴ πάντας, ἀλλ' ἕνα τινὰ τῶν εὐεργετηθέντων ἀποδώσειν τὴν χάριν. Ὅθεν πειρῶ πρόθυμος μὲν εἶναι ταῖς εὐεργεσίαις, ἔποχος δὲ τοῖς θυμοῖς· τὸ μὲν γὰρ βασιλικόν τε καὶ ἥμερον, τὸ δὲ βάρβαρόν τε καὶ στυγητόν. Τὰ δ' ἄλλα καθὼς ἂν δοκιμάζῃς πρᾶττε μὴ παρορῶν τὰς λυσιτελεῖς ψήφους.

Quæ hîc Theophrasto tribuuntur fortasse ex ejus libro περὶ Φιλίας excerpta sunt.

(δ') ΦΙΛΙΠΠΩ.

Οἱ διάραντες τῶν βασιλέων ἐπὶ φρονήσει καὶ ταῖς ὑπεροχαῖς τῶν ἄστρων ψαύσαντες εὐεργετοῦσιν οὐδὲ πρὸς τοὺς αὐτοὺς πολιτευόμενοι καιρούς, ἀλλὰ καὶ θεωροῦντες τὸ τῆς τύχης ἄστατον θησαυρίζουσι τὴν χάριν πρὸς ἑκάτερα, ἐν μὲν ταῖς εὐπραγίαις τιμῆς βουλόμενοι μεταλαμβάνειν (τιμὴ γὰρ οἰκεῖον ἀρετῆς ἐστίν), ἐν δὲ τοῖς συμπτώμασι βοηθείας· αἱ γὰρ συμφοραὶ τἀναγκαῖα κρίνουσι τῶν καλῶν πρότερον· σαφέστατος γὰρ εὐνοίας ἔλεγχος ὁ τῆς τύχης καιρός· ἀπαιτεῖ γὰρ οὐ λόγους ἀλλὰ πράξεις δεόντως· ἡ γὰρ τῶν εὐνοούντων ὄψις ὥσπερ ἐν πελάγει χειμαζομένῳ παρεφάνη γῆ. Πᾶσα γὰρ ἐν ἐρήμῳ πεσοῦσα τύχη σκοπὸς ἀληθῶς ἔκκειται τοῖς πολεμεῖν ἢ ἀδικεῖν ἢ συκοφαντεῖν αἱρουμένοις, μόνη δ' ἡ τῶν σπουδαίων διαυγὴ τὸ τῆς τύχης εὐκίνητον οὐκ ἀπαρνεῖται· φέρουσα δ' εὐλόγως πᾶν τὸ προσπῖπτον τῶν κατὰ Πλάτωνα κρειττόνων εὖ διατίθεται. Διὸ καὶ τὴν ταχυτῆτα τῶν πραγμάτων εὐλαβοῦ καὶ τὸν κύκλον τῆς μεταπτώσεως ἡγοῦ, καὶ τὰς ἐν τῷ ζῆν ψήφους λογίζου· πολλὰ γὰρ ἡ ταὐτομάτου φορὰ κομίζει τῷ βίῳ καὶ ῥοπὰς αὐτονόμους ποιεῖ. Τοῖς μὲν ἀγνοοῦσι μετάνοιαν δίδου, τοῖς δ' εὐνοοῦσι τὰς χάριτας προχείρους νέμε· ταῦτα γὰρ πράττων οὐχ ἅπαξ ἀλλὰ δι' ὅλου συντηρῶν, ἀσφαλέστατα καὶ ἀκίνδυνα τὰ τῆς ἡγεμονίας ἕξεις μέλαθρα. Ὡς μὲν ὑπὲρ μεγάλων ὀλίγα, ὡς δὲ πρὸς σέ, πάντα σχεδὸν εἴρηται.

Quæ e Platone afferuntur hæc procul dubio ejus Convivium, p. 188, D, sive etiam Legg. IV, p. 718, A, spectant, ubi dii ἡμῶν κρείττονες vocantur.

(ε') ΘΕΟΦΡΑΣΤΩ.

Ἡ πρόχειρος ἀδικία τῆς πολυχρονίου λυσιτελεστέρα πέφυκεν ὑπάρχειν· ἡ μὲν γὰρ ὀλιγοχρόνιον ἔχει καὶ τὴν μνήμην καὶ τὴν βλάβην, ἡ δὲ γηράσκουσα καὶ περιπεποιημένη τὴν δυσμένειαν ἔχθραν ἀΐδιον

---

buerunt; nam, ut summatim dicam, beneficiorum collatio et gratiæ relatio vitam humanam velut vinculo coercet, sic ut alii largiantur, alii accipiant, alii rursus rependant. Proinde probum ac justum est misericordiam adhiberi fortunis immerito afflictorum; nam miseratio placidi animi est, asperitas inculti; turpe enim et immane est virtutem in miseriis derelictam pati. Quam ob causam laudo etiam discipulum nostrum Theophrastum, dicentem in beneficium non cadere pœnitentiam et fructum egregium afferre laudationem eorum de quibus bene meriti simus. Quare convenit, ut sapientes homines in multos conferant beneficia, putentque futurum esse, ut relicta bona existimatione quasi stipis vicem illa obtineant in rerum commutationibus, et vero nisi omnes, at unus certe eorum, quos beneficiis obstrinximus, gratiam referat. Unde enitere, ut promptus sis in præstandis officiis et iram animi refrenes; illud enim est regium et mansuetum, hoc barbarum et odiosum. Ceterum ut tibi videbitur facias et utile consilium ne negligas.

*PHILIPPO.*

Qui reges sapientia elati sunt et eminentiæ fastigio sidera contingunt bene mereri student, neque solum ad præsens tempus consilia factaque sua accommodant, sed quum inconstantiam fortunæ videant in utrumque usum beneficia disponunt, cum ut secundis suis rebus in honore sint (honor enim proprium quiddam est virtutis), tum ut in cladibus auxilium habeant paratum. Calamitates enim honoribus necessaria præferunt; certissima enim amoris et benevolentiæ probatio tempus fortunæ est, quoniam non verba sed facta desiderat. Ac jure quidem; nam benevolorum adspectus quemadmodum in mari periclitanti terra apparet. Omnis enim in derelicto cadens fortuna scopus procul dubio positus est iis, qui infestare vel injuriam inferre vel calumniari volunt; solus vero honorum splendor fortunæ mobilitatem non abnegat, sed moderate ferens quidquid accidit ex iis qui secundum Platonem potentiores sunt, optime constitutum animum gerit. Quam ob rem rerum velocitatem metue, et casuum esse circulum crede, et calculorum vitæ rationem habeto. Multa enim temerarius fortunæ impetus rerumque cursus affert vitæ et inclinationes pro suo arbitrio facit. Malevolis pœnitendi locum concede, benevolis prompte benefacito; hæc enim si feceris, et non semel tantum, sed per universam vitam observaveris, tutissimum et sine periculis tenebis imperii ædificium. Ac pro magnitudine rei pauca: quantum ad te, omnia fere dicta sunt.

*THEOPHRASTO.*

Prompte illata injuria diu præmeditata melior est; illius enim brevis et recordatio nobis est et noxa, irreve-

παρασκευάζει, καὶ τῇ μὲν πολλάκις λόγον δωρησάμενοι γαληνισμὸν ηὕρομεν, τῇ δὲ καὶ μερίσαντες τὰς τρικυμίας σάλον καὶ ἀνίας εἴδομεν πορθμόν. Διό φημι δεῖν τὴν ἑταιρίαν μάλιστα μὲν μὴ ἀδικεῖν, οὐδὲ γὰρ εὔλογον ἔχει τὴν πρόφασιν· εἰ δὲ μή γε, ἀκουσίως τοῦτο πράξαντα θᾶττον διαλύεσθαι τὴν ἔχθραν· τὸ μὲν γὰρ μὴ ἀδικεῖν ἴσως ὑπὲρ ἄνθρωπόν ἐστι, τὸ δὲ πλανηθέντα διασώσασθαι ἐπιφέρει τι καλόν, καὶ σφόδρα τοῦτο εὐσταθοῦς διανοίας ἴδιόν ἐστιν.

(β') ΑΛΕΞΑΝΔΡΩ.

Ἀπορῶ τίνων ἢ ποίων ἀρχή με λάβῃ πρός σε· ἐφ' ἃ γὰρ ἂν ἐπισκοπῶν ἐπιβάλω τὴν διάνοιαν, πάντα μοι φαίνεται μεγάλα καὶ θαυμαστά, καὶ λήθης οὐδὲν ἄξιον ὁρῶ, μνήμης δὲ οἰκεῖα καὶ προτρέψεως. Ὧν οὐδὲν οὐδεὶς ἀμαυρώσει χρόνος· αἱ γὰρ καλαὶ τῶν διδασκάλων παραινέσεις καὶ προτρέψεις θεατὴν ἔχουσι τὸν αἰῶνα. Διὸ πειρῶ τὴν ἀρχὴν μὴ εἰς ὕβριν ἀλλ' εἰς εὐεργεσίαν κατατίθεσθαι, ἧς οὐδὲν μεῖζον τῶν ἐν βίῳ ὑπάρχειν πέφυκε. Διὸ καὶ τὸ θνητὸν τῆς φύσεως πολλάκις ὑπὸ τοῦ χρεὼν διαλυόμενον ἄφθαρτον διὰ τὸ μέγεθος τῶν ἔργων κέκτηται τὴν μνήμην. Τούτων οὖν τὴν ἔννοιαν ἔχε· οὐ γὰρ ἀλόγως ἠνέχθης ὡς ἔνιοι, οἳ ἀτόπως καὶ τὰς γνώμας διετέθησαν. Σοὶ καὶ γένος ἔντιμον καὶ βασιλεία πατρῷος καὶ παιδεία βέβαιος καὶ δόξα περίβλεπτος, καὶ ὅσον ταῖς ἀφορμαῖς τῆς τύχης διαφέρεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς τῶν καλῶν πρωτεύειν σε δεῖ. Τὰ δ' ἄλλα πρᾶττε μὲν τὰ συμφέροντα, ἐπιτέλει δὲ τὰ δόξαντα.

## ΔΙΑΘΗΚΑΙ.

Aristotelis, Epistolis sive veris sive, ut ego quidem puto supposititiis, subjungendum esse duximus Testamentum philosophi, quod ex Hermippo memorat Athenæus XIII, p. 589, C : Ἀριστοτέλης δὲ ὁ Σταγειρίτης οὐκ ἐξ Ἑρπυλλίδος τῆς ἑταίρας ἐπαιδοποίησε Νικόμαχον, καὶ συνῆν ταύτῃ μέχρι θανάτου, ὥς φησιν Ἕρμιππος ἐν τῷ περὶ Ἀριστοτέλους πρώτῳ, ἐπιμελείας φάσκων τῆς δεούσης τετυχηκέναι ἐν ταῖς τοῦ φιλοσόφου Διαθήκαις. Totum vero hoc testamentum ex eodem Hermippo descripsit Diogenes Laertius, ex eodemque fonte, procul dubio, qui post Hermippum de Aristotelis vita et scriptis egerant. Cf. Vita Marc. p. 8 Robbe : Καὶ τελευτᾷ ἐκεῖσε διαθήκην ἔγγραφον καταλιπών, ἣ φέρεται παρά τε Ἀνδρονίκῳ καὶ Πτολεμαίῳ μετὰ τὸν πίνακα (τοῦ πίνακος Rosius, fort. τοὺς πίνακας cum vetere versione latina : *Et mortuus est Chalcide, demittens testamentum scriptum, quod fertur ab Andronico et Ptolemæo cum voluminibus suorum tractatuum*) τῶν αὐτοῦ συγγραμμάτων. Inde apud Diogenem Laertium V, 64, ubi Stratonis testamentum affertur, additis his verbis καθά που συνήγαγε καὶ Ἀρίστων ὁ Χῖος, legendum esse Ἀνδρόνικος, quem plane ignorat Diogenes Laertius, suspicatus est Rosius (l. l. p. 598), quam conjecturam nemo facile probabit. Nec magis idoneam causam video cur, ut idem suo more censet, fides abroganda sit huic testamento. Cf. Zeller, *Philosophie der Griechen* t. II, 2, p. 35 n. 2.

Diogen. Laert. V, 1, 9 : Ἡμεῖς δὲ καὶ διαθήκαις αὐτοῦ περιετύχομεν, οὕτω πως ἐχούσαις·

« Ἔσται μὲν εὖ· ἐὰν δέ τι συμβαίνῃ, τάδε διέθετο Ἀριστοτέλης· ἐπίτροπον μὲν εἶναι πάντων καὶ διὰ παντὸς Ἀντίπατρον· ἕως δ' ἂν Νικάνωρ καταλάβῃ, ἐπιμελεῖσθαι Ἀριστομένην, Τίμαρχον, Ἵππαρχον, Διοτέλην, Θεόφραστον, ἐὰν βούληται καὶ ἐνδέχηται αὐτῷ· τῶν τε παιδίων καὶ Ἑρπυλλίδος καὶ τῶν κα-

---

terata vero fovendo odium, inimicitiam parit perpetuam; et illi quidem sæpenumero verbo adhibito, tranquillitatem invenimus, huic vero vel superata undarum turba portum vidimus ægritudinis. Quare censeo amicitiam omnino lædere non debere, neque enim probabilis exstat ratio; sin minus, ei, qui invitus hoc commiserit, celeriter esse in gratiam redeundum. Scilicet nunquam injuriam inferre fortasse supra hominem est, verum errore commisso in viam redire laude dignum est atque constantis animi vel maxime proprium.

ALEXANDRO.

Dubium mihi est quæ vel qualia primum ad te scribam; adeo quæ animo et cogitatione circumspicio, cuncta mihi videntur magna et admiranda, neque video quod sit oblivione dignum, immo ad memoriam omnia faciunt atque ad hortationem. Quorum nihil tempus ullum obscurabit; honestæ enim præceptorum admonitiones et ad hortationes spectatorem habent universum sæculorum ordinem. Quamobrem incumbe, ut arbitrium non in injuriis sed in beneficiis colloces, quo nihil majus in hominum vita fieri potest. Quapropter natura, quæ mortalis est, quum sæpe fato succumbat et intereat, tamen propter operum magnitudinem, æternam memoriam possidet. Hæc igitur tecum perpende : neque enim temeritas in rebus tuis inest ut aliquorum, quorum etiam in animis flagitium et scelus est. Tibi genus clarissimum et regnum paternum, disciplina firma et gloria pervagata, et quantum fortunæ opibus excellis, tantum virtutibus quoque inter bonos te præstare convenit. Ceterum fac quæ sint utilia, quæ vero statuisti, perfice.

TESTAMENTUM.

Ceterum nos ipsius quoque testamentum legimus, hoc ferme modo conscriptum :

« Bene quidem erit : quod si quid secus acciderit, ita

ταλελειμμένων· καὶ ὅταν ὥρα ᾖ τῇ παιδί, ἐκδίδοσθαι αὐτὴν Νικάνορι· ἐὰν δὲ τῇ παιδὶ συμβῇ τι, ὃ μὴ γένοιτο οὐδὲ ἔσται, πρὸ τοῦ γήμασθαι ἢ ἐπειδὰν γήμηται, μήπω παιδίων ὄντων, Νικάνωρ κύριος ἔστω, καὶ περὶ τοῦ παιδίου καὶ περὶ τῶν ἄλλων διοικεῖν ἀξίως καὶ αὐτοῦ καὶ ἡμῶν· ἐπιμελείσθω δὲ Νικάνωρ, καὶ τῆς παιδὸς καὶ τοῦ παιδὸς Νικομάχου, ὅπως ἂν ἀξιοῖ τὰ περὶ αὐτῶν, ὡς καὶ πατὴρ ὢν καὶ ἀδελφός· ἐὰν δέ τι πρότερον συμβῇ Νικάνορι, ὃ μὴ γένοιτο, ἢ πρὸ τοῦ λαβεῖν τὴν παῖδα ἢ ἐπειδὰν λάβῃ, μήπω παιδίων ὄντων, ἐὰν μέν τι ἐκεῖνος τάξῃ, ταῦτα κύρια ἔστω· ἐὰν δὲ βούληται Θεόφραστος εἶναι μετὰ τῆς παιδός, καθάπερ πρὸς Νικάνορα· εἰ δὲ μή, τοὺς ἐπιτρόπους βουλευομένους μετ' Ἀντιπάτρου καὶ περὶ τῆς παιδὸς καὶ περὶ τοῦ παιδίου διοικεῖν ὅπως ἂν αὐτοῖς δοκῇ ἄριστα εἶναι· ἐπιμελεῖσθαι δὲ τοὺς ἐπιτρόπους καὶ Νικάνορα μνησθέντας ἐμοῦ καὶ Ἑρπυλλίδος, ὅτι σπουδαία περὶ ἐμὲ ἐγένετο, τῶν τε ἄλλων καὶ ἐὰν βούληται ἄνδρα λαμβάνειν, ὅπως μὴ ἀναξίῳ ἡμῶν δοθῇ· δοῦναι δ' αὐτῇ πρὸς τοῖς πρότερον δεδομένοις καὶ ἀργυρίου τάλαντον ἐκ τῶν καταλελειμμένων καὶ θεραπαίνας τρεῖς, ἐὰν βούληται, καὶ τὴν παιδίσκην ἣν ἔχει καὶ παῖδα τὸν Πυρραῖον· καὶ ἐὰν μὲν ἐν Χαλκίδι βούληται οἰκεῖν, τὸν ξενῶνα τὸν πρὸς τῷ κήπῳ· ἐὰν δὲ ἐν Σταγείροις, τὴν πατρῴαν οἰκίαν· ὁποτέραν δ' ἂν τούτων βούληται, κατασκευάσαι τοὺς ἐπιτρόπους σκεύεσιν οἷς ἂν δοκῇ κἀκείνοις καλῶς ἔχειν καὶ Ἑρπυλλίδι ἱκανῶς· ἐπιμελείσθω δὲ Νικάνωρ καὶ Μύρμηκος τοῦ παιδίου, ὅπως ἂν ἀξίως ἡμῶν τοῖς ἰδίοις ἐπικομισθῇ σὺν τοῖς ὑπάρχουσιν ἃ εἰλήφαμεν αὐτοῦ· εἶναι δὲ καὶ Ἀμβρακίδα ἐλευθέραν καὶ δοῦναι αὐτῇ, ὅταν ἡ παῖς ἐκδοθῇ, πεντακοσίας δραχμὰς καὶ τὴν παιδίσκην ἣν ἔχει· δοῦναι δὲ καὶ Θαλῇ πρὸς τῇ παιδίσκῃ ἣν ἔχει, τῇ ὠνηθείσῃ, χιλίας δραχμὰς καὶ παιδίσκην· καὶ Σίμωνι χωρὶς τοῦ πρότερον ἀργυρίου αὐτῷ δοθέντος εἰς παῖδ' ἄλλον, ἢ παῖδα πρίασθαι ἢ ἀργύριον ἐπιδοῦναι. Τύχωνα δ' ἐλεύθερον εἶναι, ὅταν ἡ παῖς ἐκδοθῇ, καὶ Φίλωνα καὶ Ὀλύμπιον καὶ τὸ παιδίον αὐτοῦ. Μὴ πωλεῖν δὲ τῶν παίδων μηδένα τῶν ἐμὲ θεραπευόντων, ἀλλὰ χρῆσθαι αὐτοῖς· ὅταν δ' ἐν ἡλικίᾳ γένωνται, ἐλευθέρους ἀφεῖναι κατ' ἀξίαν· ἐπιμελεῖσθαι δὲ καὶ τῶν ἐκδεδομένων εἰκόνων παρὰ Γρυλλίωνα, ὅπως ἐπιτελεσθεῖσαι ἀνατεθῶσιν, ἥ τε Νικάνορος καὶ ἡ Προξένου, ἣν διενοούμην ἐκδοῦναι, καὶ ἡ τῆς μητρὸς τῆς Νικάνορος· καὶ τὴν Ἀριμνήστου τὴν πεποιημένην ἀναθεῖναι, ὅπως μνημεῖον αὐτοῦ ᾖ, ἐπειδὴ ἄπαις ἐτελεύτησε· καὶ τὴν τῆς μητρὸς τῆς ἡμετέρας τῇ Δήμητρι ἀναθεῖναι εἰς Νεμέαν ἢ ὅπου ἂν δοκῇ. Ὅπου δ' ἂν ποιῶνται τὴν ταφήν, ἐνταῦθα καὶ τὰ Πυθιάδος ὀστᾶ ἀνελόντας θεῖναι, ὥσπερ αὐτὴ προσέταξεν· ἀναθεῖναι δὲ καὶ Νικάνορα σωθέντα, ἣν εὐχὴν ὑπὲρ αὐτοῦ ηὐξάμην, ζῷα λίθινα τετραπήχη Διὶ σωτῆρι καὶ Ἀθηνᾷ σωτείρᾳ ἐν Σταγείροις. »

Τοῦτον ἴσχουσιν αὐτῷ αἱ διαθῆκαι τὸν τρόπον.

---

legavit Aristoteles : Curatorem omnium et per omnia jussit esse Antipatrum : quoad vero Nicanor adolescat, curatores et tutores instituit Aristomenem, Timarchum. Hipparchum, Diotelem et Theophrastum, si voluerit aut ipsi licuerit, filiorum et Herpyllidis rerumque omnium; quumque puella fuerit matura viro, tradi illam Nicanori : sin vero puellæ aliquid acciderit, quod absit neque fiet, aut ante nuptias aut postquam nupserit, nondum natis filiis, penes Nicanorem esto statuere et de filio et de reliquis, ut se ac nobis dignum est. Curet autem Nicanor et de puella et de puero Nicomacho, nihil ut illis desit, patris ac fratris una implens munus. Quod si Nicanori aliquid acciderit, quod absit, sive priusquam puellam duxerit, sive postquam duxerit, nondum natis filiis, quæ quidem ille instituerit, ea rata sunto : sin autem voluerit Theophrastus cum illa esse, esto ei jus idem ac Nicanori; sin alias, curatores habito cum Antipatro consilio et de puella et de puero statuant ut eis videbitur optimum. Curam quoque habeant tutores et Nicanor, mei et Herpyllidis memores, namque erga me studiosa plurimum fuit et reliquorum, et, si virum accipere voluerit, curent ne indigne nobis locetur dentque illi præter ea quæ antea acceperat, de nostris bonis talentum argenti, tresque, si voluerit, famulas et ancillam quam habet, et Pyrrhæum puerum, et si quidem Chalcide habitare voluerit, hospitium quod ad hortum est; sin autem Stagiris, paternam domum. Utrum vero horum maluerit, studeant procuratores domum ita necessaria supellectile instruere, ut ipsis honeste et Herpyllidi sufficienter instructa videatur. Curæ sit autem Nicanori et Myrmecem puerum non indigne nobis ad suos referri, cum omnibus bonis quæ ab eo accepimus. Sit autem et Ambracis libera, dantorque illi post filiæ nuptias quingentæ drachmæ ancillaque quam habet. Sed et Thalæ præter ancillam quam habet emptam, drachmæ mille et ancillula. Simoni quoque absque priori pecunia in puerum alium, sive puerum emi, sive pecuniam dari jubeo. Tychonem esse liberum, quum filia nupserit, Philonemque et Olympium ejus filiolum. Porro eorum qui mihi famulantur puerorum nullum vendi volo, sed heredes eis uti : quum vero adulti erunt, pro merito liberos dimitti volo. Curent item ut consummentur quæ Gryllioni sunt traditæ exsculpendæ imagines; ubi vero perfectæ erunt, suis ponantur locis : Nicanoris et Proxeni, quam locandam cogitabam, matrisque Nicanoris : Arimnesti vero quæ perfecta est, suo statuatur loco, ut sit ipsius monumentum, quia sine liberis defunctus est. Matris quoque nostræ imaginem Cereri Nemeæ consecrari volo aut ubicunque videbitur. Ubi vero tumulum fecerint, ibi et Pythiadis sublata ossa condant, sicut ipsa præcepit. Dedicet etiam Nicanor, ubi salvus fuerit, quod votum pro illo vovi, statuas lapideas quattuor cubitorum Jovi Servatori et Minervæ Sospiti Stagiris. »

Hanc ejus testamentum habet rationem.

## X. CARMINA.

